eul_wid: uyq-ab

*Ῥωμανὸς ὁ Μελωδός* · Romanos the Melodist

## Dubious Songs

*Ἀμφίβολοι Ὠιδαί*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ Χριστιανική* Christian Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.60 Τὰ μεγαλεῖα σου, παρθένε, τίς διηγήσεται; [para]βρύεις γὰρ θαύματα καὶ πηγάζεις ἰάματα [para]καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 1.60 Ὕψη οὐράνια ἐκμανθάνειν καὶ θαλάσσης τὰ βάθη ἐρευνᾶν τολμηρὸν ὑπάρχει καὶ ἀκατάληπτον· ὥσπερ γὰρ ἄστρα ἐξαριθμῆσαι καὶ παράλιον ψάμμον οὐκ ἔστιν ὅλως, οὕτως οὐδὲ τὶς τὰ τοῦ θεολόγου εἰπεῖν ἱκανός· τοσούτοις αὐτὸν στεφάνοις ὁ Χριστὸς ὃν ἠγάπησεν ἔστεψεν· ὁ ἐν τῷ στήθει ἀναπεσὼν καὶ ἐν τῷ μυστικῷ δείπνῳ συνεστιαθεὶς |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 2.60 Μέγας ὑπάρχων ἱερογράφος, „Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος δὲ ἦν πρὸς τὸν θεὸν“ ἀπεφθέγξατο· καὶ τὸ εἰπεῖν „Θεὸς ἦν ὁ Λόγος“ ἀπεστόμησε ⟦τὸν⟧ Ἄρειον καταπλήττων ὁ ἁλιεὺς ὁ ποτὲ καταρτίζων τὰ δίκτυα, ὁ γόνος τοῦ Ζεβεδαίου, ὁ εὐφραίνων τὸν κόσμον τοῖς λόγοις αὐτοῦ καὶ τὰς καρδίας στηρίζων ἡμῶν ἐν τῷ ἄρτῳ τῆς πίστεως προφητικῶς |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 3.60 Νοῦν ἐξιστᾷ τὰ ἐν τῇ σταυρώσει· ἑστηκότων πλησίον τῆς μητρὸς καὶ αὐτοῦ τὰ λελεγμένα ἐξαίρετα· ἐκτεταμένος Χριστὸς ἐν ξύλῳ τὴν μητέρα ἰδὼν καὶ ὅνπερ ἠγάπα τῷ μαθητῇ ἔφησεν ἐν φωνῇ· „Ἰδοὺ ἡ μήτηρ σου“· καὶ τῇ ἰδίᾳ μητρὶ ἔφη· „Ἰδοὺ ὁ υἱός σοῦ ὃν ἠγάπησα·“ ⟦ἔκτοτε⟧ λαβὼν αὐτὴν εἰς τὰ ἴδια ὡς μητρὶ τοῦ θεοῦ ὑπηρέτει αὐτῇ |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 4.60 Ὅτε οὖν ἦλθες πρὸς μαθητείαν ὑπὲρ πάντας τοὺς ἄλλους ἠγαπήθης, σοφέ, ὡς πρᾶος καὶ φιλοπάρθενος· ὅθεν σε καὶ ὁ εἰδὼς τὰ πάντα ἐπὶ ὄρους ἀνάγει μέτα συγγόνου καὶ τοῦ Κηφᾶ ὑποδείξας τὸ κάλλος τὸ ἄφραστον, ἵν’, ὅταν πάσχοντα ἴδῃς, μηδαμῶς δειλιάσῃς τὸ πάθημα, ἀλλ’ ἐν σταυρῷ παριστάμενος τῆς ἁγνῆς θεοτόκου ἀκούσῃς υἱός |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 5.60 Σὺν Ἰωάννῃ Πέτρος ἀνῄει ἐν τῷ ἱερῷ ὥρᾳ τῆς ἐνάτης εὐχῆς καί τις χωλὸς ἐκ κοιλιᾶς μητρος, ὃν βασταγμῷ ἦγον καθ’ ἡμέραν καὶ ἐτίθουν παρὰ τῇ ὡραίᾳ πύλῃ· οὗτος ἰδὼν Πέτρον καὶ Ἰωάννην ἐζήτει λαβεῖν ἐκ τούτων ἐλεημοσύνην καὶ κραυγῇ ἀνεβόα πορίσασθαι τοὺς ὀβολοὺς ἐξ αὐτῶν· πρὸς ὃν βλέψας σπλαγχνίζεται σὺν τῷ Κηφᾷ |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 5bis.60 ⟦Σύνοικον ἔχων τὴν παρθενίαν ἐν μητράσι παρθένον καὶ μητέρα Χριστοῦ παρέλαβες εἰς τὰ ἴδια· τὸν γὰρ αὐτῆς υἱὸν μὴ καταλείψας ἐν τῇ ὥρᾳ τοῦ θείου αὐτοῦ πάθους καὶ τῷ σταυρῷ παρεστὼς φωνῆς θείας ἀκήκοας· „Ἰδοὺ ἡ μήτηρ σου, φίλε“· καὶ τῇ μητρὶ δὲ πάλιν ἐφώνησεν·

„Ἰδοὺ τὸ τέκνον σου, μῆτερ μου· σὺν αὐτῷ τὴν κατοίκησιν ποίησον |:ὡς θεολόγῳ καὶ φίλῳ τοῦ Χριστοῦ.“:|⟧

book 6.60 Ἔχοντες σύντομον τὸ οἰκτεῖραι ἑστηκότες πλησίον τοῦ πτωχοῦ καὶ χωλοῦ σπλαγχνισθεὶς Πέτρος φησίν αὐτῳ· „Ἀργύριον καὶ χρυσίον ὅλως οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω διδῶ σοι· ⟦ἐν τῷ⟧ ὀνόματι ⟦τοῦ⟧ Ναζωραίου Χριστοῦ καὶ θεοῦ ἡμων ἀνάστα καὶ περιπάτει.“ καὶ κρατήσας αὐτὸν τῆς δεξιᾶς χειρος 〈ἀν〉 ἤγειρε, καὶ ἀνέστη σκιρτῶν καὶ θεῷ εὐχαρίστει καὶ τῷ μαθητῇ |:ὡς θεολόγῳ καὶ φίλῳ τοῦ Χριστοῦ.:|

book 7.60 Ἵστησι φρένας τοῦτο τὸ θαῦμα μὴ στερήσας τὰς βάσεις, τὰ σφυρὰ τοῦ χωλοῦ, ἡ τοῦ Χριστοῦ θεία δύναμις· οἱ ψιλὸν ἄνθρωπον τολμῶντες λέγειν τὸν Χριστὸν ὀνομάζειν δοκοῦντες εἶναι γνώμη μικρά· εἰ ψιλός ἐστιν ὥσπερ ὑμεῖς φατε, πῶς ἔργα θεοῦ τοιαῦτα καὶ τοσαῦτα ἐργάζεται λόγῳ ἑνὶ χωρὶς μισθοῦ καὶ οὐχ ὡς ὑμεῖς; τοῦ θεοῦ δὲ ἡ δόξα δι᾽ ὃν ταῦτα τελεῖ |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 8.60 Σπεύσατε, φράσετε οἱ ἐν πείρᾳ ⟦οἱ⟧ τῆς ἰατρικῆς ὄντες, Ἱπποκράτης, εἰπὲ καί, Γαληνέ, διασάφησον καὶ ὑμεῖς ὅσοι σὺν τούτοις μύσται οἱ τὴν κρεοκοπίαν εἰδότες ἄκρως, οἱ χειρουργεῖν καὶ τὸ φλεβοτομεῖν ἐπιτρέχοντες, οἱ ἐκ τῶν νοσοτριβούντων, οἱ μισθοὺς τὰς ψυχὰς αὐτῶν αἴροντες φωνῇ ἀνέγκλητῳ εἴπατε τὸ σαφές, πῶς τοιαῦτα ἐργάζεται |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ;:|

book 9.60 Τὴν τῶν ἐμπλάστρων πολυπειρίαν καὶ πολύειδον πᾶσαν γλῶσσαν τῶν βοτανῶν, σιδηρᾶς σμίλας, τυφλάγκιστρα καὶ ἐργαλεῖα πάμπολλα εἶχον τὰ φλεβοτομικὰ ἐπίσης μακέλλου· αἱμοχαρεῖς, εἴπατε ἡμῖν, πῶς ἄνευ τούτων Κηφᾶς καὶ ἅμα τῷ Ἰωάννῃ τὸν χωλὸν παραδόξως ἐνεύρωσαν μισθοῦ χωρὶς καὶ οὐχ ὡς ὑμεῖς; τῷ θεῷ δὲ ἡ δόξα, δι᾽ ὃν ταῦτα τελεῖ |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 10.60 Ὁ θεολόγος, ἃ ἐξετρίβη καὶ μεμάθηκε σόφως ἐκ τοῦ παιδοτριβοῦ Χριστοῦ τοῦ μόνου θεοῦ ἡμων, ταῦτα εἰς ἄκρον διεξετέλει· ἴσως δέ τις ἐρεῖ μοι· „Τί ἐδιδάχθη; ἦν ἁλιεύς, ἡ ἁλιεία δὲ ὅλως οὐ δίδωσι σοφίαν· οὔτε δὲ πάλιν Ζεβεδαῖος ἦν γνώσεως παιδευτικῆς.“ πρὸς τοὺς δὲ ταῦτα μοι λέξαντας ἀντερῶ παριστῶν ἃ δεδίδακτο |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 11.60 Νοῦς ἀκατάληπτος ὡς ὑπάρχων μετερρύθμησε τοῦτον ἐκ θαλάσσης εἰς γῆν βροτοὺς ζωγρεῖν ὡς ηὐδόκησεν· ἄκουε οὖν ἃ ἦν ἁλιεύων· πᾶσαν νόσον ἰᾶτο καὶ μαλακίαν καὶ τοὺς πτωχοὺς κατεπλούτει, γυμνοὺς ἐνεδίδυσκε, παρέτους λόγῳ ἀνίστα τοῦ Χριστοῦ ἐπικλήσει, κοξούς, κυλλους, ἀρθριτικοὺς ἀπεδείκνυεν τρέχειν ὡς τὰς ἐλάφους ἀσκέλιστα |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 12.60 Θαύματα σύντομα ἐξετέλει δαίμονας ἀπελαύνων τὸν Σατὰν δὲ ποσὶ μετὰ τῶν ἄλλων πεπάτηκεν· ἵνα δὲ μή τις μάταια δόξῃ τὰ λεγόμενα, δείξω καὶ παραστήσω· ἐν λοετρῷ ἑαυτὸν ὁ σοφὸς μισθωσάμενος γεγόνει καὶ περιχύτης ἐκτελῶν εὐπρεπῶς τὰ προσήκοντα· τὸ βαλανεῖον δὲ ἔδειξεν ἐκκλησίαν θεοῦ ὁ πολύστεπτος, |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 13.60 Ἐκ τῶν μισθῶν τοῦ περιχυτεύειν τά μεν τοῖς δεομένοις διεδίδου, τὰ δὲ ὁ συμπαθὴς διενέμετο· ἔτυχεν οὖν τινὰ εἰσελθόντα τῇ νυκτὶ τοῦ λουθῆναι, ὃς εἶχε πνεῦμα ἐν τῷ κρυπτῷ πονηρόν· τοῦτον οὖν εἰς τὰ θόλα εὑρὼν ὁ δαίμων ἔπνιξεν ἔσω, καὶ γνωστὸν τοῦτο πᾶσι γενόμενον τὸ πλῆθος ἔξω ἐκραύγασεν· „Ἰωάννης ἐκεῖνον ἐφόνευσεν |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.“:|

book 14.60 Ὁ θεοφρούρητος θεωρήσας τὴν σκευὴν τὴν ἐκ πάντων γενομένην αὐτῷ ἐν τῷ λουτρῷ εἰσεπήδησε καὶ πρὸς τὸ οὖς μὲν τοῦ τεθνηκότος ἐν σιγῇ τὸν Χριστὸν ὀνομάζει πίστει· ἔκραξε δὲ ἐν μεγάλῃ φωνῇ· „Ἔγειρέ και εἰπέ, τίς ἔστιν ὁ σὲ φονεύσας·“ ὁ νεκρὸς δὲ ἀνέστη καὶ ἔφησεν· „Ἐμὲ ὁ δαίμων ἀπέπνιξεν, ὅνπερ εἶχον τὸ πρίν, καὶ οὐχί αὐτος |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.“:|

book 15.60 Λέγειν τὰ τοῦ λῃστοῦ ἀναγκαῖον· νεανίσκον ἀστεῖον καὶ θερμὸν τὴν ψυχὴν λῃστὴν ἰδὼν ὁ μακάριος τοῦτον ἀγρεύσας τῷ ἐπισκόπῳ παρατίθεται λέγων· „Χριστοῦ ὁ μύστης· ἔχε ἰδοὺ παραθήκην τὸν νέον φυλάττων μοι.“ λαβὼν δὲ τοῦτον βαπτίζει καὶ τῇ ποίμνῃ Χριστοῦ συνηρίθμησε· μετ’ ὀλίγον δὲ πάλιν κατέλιπε τὸν θεόν, οὗ καὶ ἐστὶ μαθητὴς |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 16.60 Ὁ θεολόγος ἐλθὼν ἐζήτει ὃν παρέδωκε νέον καὶ λοιπὸν μὴ εὑρὼν μιμούμενος τὸν διδάσκαλον τάχος τὰ ὄρη καταλαμβάνει· καταλείψας τὰ πλεῖστα ἐπὶ τὸ ἕν δε μέτα σπουδῆς ὁ Χριστοῦ μαθητὴς κατεπείγετο· εὑρὼν δὲ τοῦτον τοῖς ὤμοις ὡς καλὸς ποιμενάρχης ἀνέλαβε καὶ τῇ ποίμνῃ Χριστοῦ συνηρίθμησεν ὡς καὶ πρώην ἀσίγητον κράζοντα |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 17.60 Γενναιοτάτως αὐτὸν ἰξεύσας ἔφη· „Εὖξαι κυρίῳ·“ καὶ ἀδείας λαβὼν πρὸς ἑαυτὸν σιγῇ εὔξατο παραλυθῆναι ἢ μὴ τραπῆναι· καὶ εὐθὺς παρελύθη· ἰδὼν δὲ τοῦτον ὁ μαθητὴς ἀθυμήσας ἠρώτα· „Τί πέπονθας,“ καὶ εἶπεν· „Ἐγὼ εὐξάμην ἵνα μοὶ ἔλθῃ ἡ πάρεσις, ἵνα μὴ τοῖς προτέροις καὶ πάλιν ἀπάρξωμαι“· καὶ ἀκούσας ἐξέστη Χριστῷ |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|
εὐχαριστῶν

book 18.60 Οὐδὲ τῶν πέντε νεκρῶν σοι φθάνει, ἢ τῶν δύο σοφῶν 〈οἳ〉 τῆς θαλάσσης ὡς σὺ ὑπομεμένηκαν κίνδυνον, ἢ τὸ εἰπεῖν ⟦τὸν⟧ υἱὸν Ζεβεδαίου· „Ὁ καθεὶς ἡμῶν ἄρτι νεκρὸν ἀναστήσει,“ ἢ ὡς αὐτὸς νεκρὸν ἤγειρε, ὃς τὴν στολήν αὐτου φορέσαι κατηξιώθη, ἢ καὶ τοῦτο δαιμόνων τὸ κήρυγμα· Ἀριστοδήμου δὴ μάλιστα τοῦ φαρμάκου, ὃν μετεστοιχείωσεν |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 19.60 Νῦν Ἀριστόδημος ὁ φαρμάκος, οὓς ἀνεῖλεν ἀνθρώπους δηλητήριον δοὺς καὶ κύνα ἅμα καὶ πίθηκον, τούτῳ ὁ ἅγιος ἔφη· „Δός μοι τὸ αὐτὸ δηλητήριον, ἵνα πίω·“ ὃ καὶ λαβὼν καὶ πιὼν τοῦ Χριστοῦ τῷ ὀνόματι οὐδ’ ὅλως κακὸν ὑπέστη· καὶ ἰδὼν ἐξεπλάγη θερμῶς αἰτων, ἵν’ ἐγείρῃ οὓς ἔκτεινε φάρμαξι τοῦ Χριστοῦ ἐπικλήσει, ὃ καί ποιει |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 20.60 Ῥήμασι πλείστοις αὐτῷ προσάγων ὁ Ἀντίπατρος ἅμα τῇ συζύγῳ αὐτοῦ εἰς τὴν οἰκίαν εἰσέφερεν· ᾧ ἐγεννήθη δίδυμα τέκνα δεινοὺς δαίμονας ἔχοντα ἀπὸ μήτρας· οἵτινες οὖν χρήμασιν ἐξητοῦντο τὸν ἅγιον τὰ βρέφη τούτων ἰᾶσθαι· σπλαγχνισθεὶς δὲ τοὺς δαίμονας αὔθωρον τῶν βρεφῶν ἀπεδίωξεν ἀμισθὶ 〈––(–)〉 |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 21.60 Ὡς οὖν ὁ ἅγιος τὸν χιτῶνα, ὃν ἐφόρει, ἐξέδυ, ⟦ἐκ⟧δίδωσι προφανῶς Ἀριστοδήμῳ εἰπών αὐτῳ· „Τὸν χιτωνίσκον, ὅν σοι παρέχω, ἐπιθεὶς ἐν ἑκάστῳ τῶν τεθνεώτων, ὄψει εὐθὺς τοῦ θεοῦ τοῦ ἐμοῦ τὰ τεράστια·“ καὶ τοῦτο τάχος ποιήσας ἐξανέστησαν πάντες κραυγάζοντες· „Εἷς θεὸς καὶ οὐκ ἄλλος, ὃν σέβεται σὲ δικαίως ποθῶν ὁ οἰκέτης σου, |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.“:|

book 22.60 Μόνος θρηνῶν ὁ ἀλάστωρ τότε αὖθις ἄνδρα εὑρίσκει καθοπλίσας αὐτόν, ὃς προϋπῆρχεν ἀνθύπατος· τοῦτον ὀξύνει κατὰ τοῦ πράου· ὃς κρατήσας δεσμεῖ τοῦ θεοῦ τὸν φίλον καὶ ἐν φρουρᾷ κατακλείσας προστέταχεν ἅπασι μὴ ἄρτον αὐτῷ, μὴ ὕδωρ ἐπιδοῦναι μηδὲ λαλιὰς 〈(–)〉, ἀλλὰ μένειν αὐτὸν ἀπαράκλητον· οὐρανίᾳ τροφῇ δὲ ἐτρέφετο |:ὁ θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 22bis.60 ⟦Μετὰ τὴν ἔγερσιν οὖν τὴν θείαν καὶ τὴν εἰς τοὺς οὐρανοὺς ἄνοδον θεϊκὴν μετὰ τοὺς ἄλλους ἐξέδραμες εἰς τὴν ὑφήλιον ὥσπερ πρώην ἁλιεύων δικτύῳ θεολογίας· τοὺς ἐν βυθῷ ἀπωλείας καὶ σκότῳ καθεύδοντας καὶ ζάλῃ ἁμαρτημάτων κρατουμένους ἀνείλκυσας, ἔνδοξε, τῷ δεσπότῃ προσάγων ὀψώνιον ἀσιγήτως αὐτῷ ἀνακράζοντας |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|⟧

book 23.60 Ἄγαν ποθῶν, σοφὲ Ἰωάννη, τόν σε ὕπερ τοὺς ἄλλους ἀγαπῶντα Χριστὸν ἐπὶ τὸν τάφον προέδραμες πρῶτος τῶν ἄλλων καὶ κατοπτεύσας τὴν ἀνάστασιν πᾶσιν εὐηγγελίσω γράψας τρανῶς καὶ τὴν ἔλευσιν ⟦τὴν⟧ πρὸς ⟦τοὺσ⟧ μαθητάς αὐτου, ὡς ἔλθῃ μέσον ἁπάντων τῶν θυρῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεκλεισμένων δωρούμενος εἰρήνην πᾶσι τοῖς ἑαυτοῦ, ἣν τῷ κόσμῳ πλουσίως κατέπεμψεν, |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 24.60 Νοῦν καὶ ψυχήν σε καθηγνισμένον καθιδὼν ὁ ἁγνείας φυτουργὸς καὶ θεὸς φωνῇ ἰδίᾳ ἐκάλεσε· σὺ δὲ τὸ πλοῖον ἐγκαταλείψας, Ἰωάννη, προσῆλθες τῷ κυβερνήτῃ καὶ παρ᾽ αὐτοῦ ἐπιστεύθης τοὺς οἴακας, πάνσοφε, πανσέπτου νῦν ἐκκλησίας· ἧς τὰ τέκνα ἐκ ζάλης λυτρούμενος πρὸς θείαν γαλήνην καθόρμησον· παρρησίαν γὰρ ἔχεις διὰ παντὸς |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 25.60 Ὁ ἐκ τοῦ στήθους τοῦ διδασκάλου, οὗ ἀνέπεσες, μάκαρ, ἐξαντλήσας σοφῶς θεολογίας τὰ δόγματα τῶν φιλοσόφων τὰς γλωσσαλγίας κατεπόντισας ὡς τοὺς πρὶν Αἰγυπτίους καὶ τὸν πιστὸν Ἰσραὴλ πρὸς τὴν γῆν καθωδήγησας τῆς ὄντως ὀρθοδοξίας, τὸν υἱὸν τῷ πατρὶ ὁμοούσιον ἀνακηρύξας τρανώτατα, ἔνδοξε, καὶ τὸ πνεῦμα ⟦τὸ ἅγιον⟧ ἐκπορευτόν, |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 26.60 Ὑπὸ τοῦ πνεύματος διαλάμπεις ὁ βροντήσας τῷ κόσμῳ τοῦ ἀνάρχου υἱοῦ τὴν προαιώνιον γέννησιν, ἔσχατον πάλιν τὴν ἐκ παρθένου πρὸς ἡμᾶς ἐνδημήσασαν σαρκωθέντα. αἴτησαι οὖν τοῖς τιμῶσι σε ἄφεσιν ἁμαρτιῶν, εἰρήνην ταῖς ἐκκλησίαις, βασιλεῦσι τὴν νίκην βραβεύων ἀεί, ἀτάραχόν δε τὴν ποίμνην σου διαφύλαξον, ἣν ⟦Χριστόσ⟧ σοι παρέσχετο, |:ὡς θεολόγος καὶ φίλος τοῦ Χριστοῦ.:|

book 1.61 Ἡ στεῖρα σήμερον Χριστοῦ τὸν πρόδρομον τίκτει, [para]καὶ αὐτὸς τὸ πλήρωμα πάσης τῆς προφητείας· ὅν γαρ οἱ προφῆται προεκηρύξαν [para]τοῦτον ἐν Ἰορδάνῃ χειροθετήσας ἀνεδείχθη θείου λόγου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 1.61 Ἡ στεῖρα σήμερον Χριστοῦ τὸν πρόδρομον τίκτει [para]⟦τὸν⟧ μηνυτὴν καὶ κήρυκα τῆς Χριστοῦ παρουσίας λῦσαι Ζαχαρίου τὴν ἀφωνίαν [para]καὶ τῆς Ἐλισάβετ στειροποιΐαν, ἐξ αὐτῶν γαρ ἐτέχθη |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 1.61 Εὐφημήσωμεν νῦν τὸν τοῦ κυρίου πρόδρομον, [para]ὅνπερ τῷ ἱερεῖ ἡ Ἐλισάβετ ἔτεκεν [para]ἐκ μήτρας ἀκάρπου, ἀλλ᾽ οὐχὶ ἀσπόρου· Χριστὸς γὰρ μόνος χώραν διώδευσεν ἀνόδευτον, ἄσπορον· τὸν Ἰωάννην στεῖρα ἐγέννησεν [para]ἄνευ δὲ ἀνδρὸς τοῦτον οὐκ ἔτεκεν· τὸν Ἰησοῦν δὲ ἐπισκιάσει [para]πατρὸς καὶ πνεύματος θεοῦ παρθένος ἔτεκεν ἁγνή· ἄλλα τοῦ ἐκ παρθένου ἀνεδείχθη ὁ ἐκ στείρας |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 2.61 Ἰησοῦν τὸν Χριστὸν τὸν ἀληθῆ θεόν ἡμων [para]Ἡσαΐας ποτὲ καὶ οἱ προφῆται ἅπαντες [para]ἐν τύποις κατεῖδον τοῖς τῆς ἀληθείας· ἀλλ᾽ οὗτος μείζων τούτων ἐγένετο προφήτης, ὡς γέγραπται· θεὸν γὰρ λόγον ὃν προεφήτευσαν [para]εἶδεν ἐν σαρκὶ καὶ ἐψηλάφησε καὶ πρὸ ὠδίνων προκαταγγέλλει [para]ἐν τοῖς σκιρτήμασιν αὐτοῦ παντὶ τῷ κόσμῳ τὴν χαράν, ὅτι πρῶτος ἐδείχθη τῆς τοῦ Λόγου παρουσίας |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 3.61 Σὺν σπουδῇ, ἀδελφοί, νῦν τὸν Λουκᾶν προσέλθωμεν [para]παριστῶντα ἡμῖν τὴν Ἰωάννου γέννησιν [para]καὶ τὸν παρ᾽ ἐλπίδα τόκον ἐπιγνῶμεν· τὸν Ζαχαρίαν νῦν ἐρωτήσωμεν, πῶς ταῦτα ἐγένετο, πῶς σιωπήσας πάλιν ἐφθέγξατο, πῶς χαλινωθεὶς αὖθις ἐλάλησε, πῶς περὶ τούτου εὐηγγελίσθη [para]ὑπ᾽ ἀρχαγγέλου Γαβριὴλ εἰπόντος τότε πρὸς αὐτὸν ὅτι· „Ἔσται ὃν τίκτεις τοῦ μεγάλου βασιλέως |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 4.61 Τοῦ ἀγγέλου νυνὶ τὴν ὀπτασίαν μάθωμεν· θυμιῶντι σαφῶς ὤφθη αὐτῷ, ὡς γέγραπται, [para]πρὸς τῷ παναγίῳ θυσιαστηρίῳ· φρικτὸς ὁ τόπος καὶ ἀξιόπιστος καὶ πλάνης ἀλλότριος· ἀλλ᾽ ἐταράχθη καὶ οὐκ ἐπίστευσε· φόβος γὰρ αὐτὸν ἐπολιόρκησε τῇ ξένῃ θέᾳ, τῷ ξένῳ λόγῳ· φησὶ γὰρ τότε πρὸς αὐτὸν ὡς· „Εἰσηκούσθης, ἱερεῦ· ὑἱὸς γάρ σοι ἔσται Ἰωάννης, ὁ τοῦ λόγου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 5.61

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁ πρεσβύτης ἰδὼν τὴν ὀπτασίαν ἔφριξε [para]καὶ σὺν φόβῳ πολλῷ τῷ Γαβριὴλ ἐφθέγξατο· [para]„Ὑπὲρ τοῦ λαοῦ μου νῦν τὰς ἱκεσίας εἰσῆλθον πέμψαι τῷ πανοικτίρμονι θεῷ παντοκράτορι· αὐτὸς δὲ ἄρτι κατεπαγγέλλει μοι [para]ξένα τε ὁμοῦ καὶ δυσπαράδεκτα· προβέβηκά γαρ τοσούτους χρόνους, [para]καὶ φύσις ἄτονος ἐμοὶ καὶ τῇ συζύγῳ τῇ ἐμῇ· ἐξ ἀγόνου δὲ μήτρας πῶς τεχθήσεται, εἰπέ μοι, |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος;“:|

book 6.61 „Νῦν ἐξόρισον σοῦ τῆς διανοίας, ἄνθρωπε,“ [para]τῷ πρεσβύτῃ εὐθὺς ὁ Γαβριὴλ ἐφθέγξατο, „δειλίας ἀνάγκην καὶ τὴν ἀπιστίαν· τὰ παρ’ ἀνθρώποις πᾶσιν ἀδύνατα θεῷ δυνατά ἐστι· καὶ ἔγνως πάλαι στείρωσιν τίκτουσαν· [para]τόν γαρ Ἰσαὰκ στεῖρα ἐγέννησε θεοῦ ὀφθέντος τῷ πατριάρχῃ [para]καὶ εὐλογήσαντος αὐτόν, ἱνὰ γεννήσῃ ὑϊόν· τοῦ φανέντος δὲ τότε γενήσεται ὁ υἱός σου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 7.61 Πρὸς τὸν ἄγγελον δὲ ὁ Ζαχαρίας ἔφησεν· [para]„Ὅτι πάντα θεὸς δύναται συνεπίσταμαι· [para]καὶ γὰρ ἐξ οὐκ ὄντων παρήγαγε κόσμον, πρὸς Ἀβραάμ δε πάλαι ἐλήλυθε θεὸς ἀπερίγραπτος τρισὶ προσώποις καὶ ὑποστάσεσιν [para]ὤν τε καὶ προὼν καὶ γνωριζόμενος ἀγγέλων δύο ἀκολουθούντων, [para]οὓς καὶ ἡγεῖτο Ἀβραὰμ ἀνθρώπους εἶναι γηγενεῖς· ἀληθῆ οὖν ἐκεῖνα, ἐμοὶ δὲ πῶς ἔσται ἄρα |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος;:|

book 8.61 Ῥαψῳδίας οὐκοῦν ῥήματα μοὶ προσήγγειλας· [para]τί γαρ ὄφελος μοὶ ἢ καὶ τῷ κόσμῳ ἔσεται, [para]ἂν τέκνον γεννήσω ἐν γήρει τοιούτῳ; πατὴρ ἐθνῶν γὰρ ποίων γενήσομαι ὡς οὗτος ὁ δίκαιος; ἢ τί ἐντεῦθεν ἄρα καρπώσομαι; [para]μᾶλλον δὲ πολλοῖς γέλως γενήσομαι; οὐ γὰρ πρεσβύταις, ἀλλὰ τοῖς νέοις [para]τὸ τίκτειν ἔστιν ἀγαθὸν καὶ χαριέστατον ἀεί· ὅθεν λόγον οὐκ ἔχει, ὡς γενήσεται υἱός μου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 9.61 Οὐ πιστεύω ἐγώ, ὅτι υἱὸν θεάσομαι· εἰ γὰρ καὶ ἐξ ἐμοῦ ἡ σὺν ἐμοὶ συλλήψεται, τὸ κέρδος μοι ποῖον, ἂν μὴ ἐπιζήσω; εἰς γῆν ἐκάμφθην ὕπο τοῦ γήρους μου· ἰσχὺς δέ μου ἔλιπε, καὶ ἐπὶ θήραις ἔστιν ὁ θάνατος [para]ὡς τῆς τελευτῆς κατεπειγούσης με· ἢ ὅλως ταῦτα, ἃ λέγεις ἄρτι, νομίσει τις ἀληθινά, ὅτι γεννήσω ὑϊόν; ἀμφιβάλλω γὰρ τοῦτο, ὡς ἔσται ὁ ὑϊός μου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 10.61 Δειλιάσαντα δὲ ἅμα καὶ ἀπιστήσαντα [para]εἰς τοῦτον ἰδὼν τὸν γηραιὸν ὁ ἄγγελος [para]σπουδάζει, θαρρύνει ἅμα καὶ διδάσκει· φησὶ γὰρ τούτῳ· „Σύνες καὶ ἄκουσον, πρεσβύτα, οὗ λέγω σοι· τῷ πατριάρχῃ πάλαι ὡς ἔφησας [para]ὤφθη ὁ θεὸς ὁ ἀπερίγραπτος· ἀλλὰ ἐκεῖνα ὑπῆρχε τύπος [para]ὧν πράττειν μέλλει ὁ θεὸς συγκαταβαίνων τοῖς θνητοῖς, οὗ γενήσεται πάντως ὁ υἱός σου Ἰωάννης |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 11.61 Ῥαψῳδίας μὲν οὖν λόγους σοι οὐκ ἀπήγγειλα, [para]ἀληθείας δὲ σοὶ ῥήματα προσεκόμισα πεμφθεὶς οὐρανόθεν ἐκ τοῦ φιλανθρώπου· ἐγὼ ἀγγέλων ὁ ἀρχιστράτηγος ὑπάρχω, πρεσβύτατε· τῷ φοβερῷ δε θρόνῳ τοῦ κτίσαντος [para]γῆν καὶ οὐρανὸν τρέμων παρίσταμαι· παρ’ οὗ ἐπέμφθην διακονῆσαι καὶ προμηνῦσαι σοὶ χαρὰν καὶ διὰ σοῦ πάσῃ τῇ γῇ, ἧς γενήσεται πάντως ὁ υἱός σου Ἰωάννης |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 11bis.61 ⟦„Ῥήματά μοι λαλεῖς ἅμα πιστὰ καὶ ἄπιστα· [para]οἶδα γὰρ τὸν θεὸν πάντα σαφῶς δυνάμενον, [para]ἀλλ’ οὐκ ᾐτησάμην τοῦ λήψεσθαι παῖδα, τὴν σωτηρίαν λαοῦ δὲ μάλιστα“, ὁ πρέσβυς ἀντέφησε· [para]„σὺ δέ μοι λέγεις. υἷον ὡς τέξομαι· [para]πόρρω τῆς ἐμῆς βουλῆς οἱ λόγοι σου· διὸ φοβοῦμαι πιστεῦσαι τούτοις, [para]μήπως εἰς ὄλισθον δεινῆς, οἰκήσεως συγκαταχθῶ· υἱὸς γάρ μοι πῶς ἔσται, ὥσπερ ἔφης, 〈τοῦ〉 δεσπότου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος;“:|⟧

book 12.61 „Ὁ οὖν πέμψας με σοὶ Λόγος ἐστὶ προάναρχος [para]καὶ υἱὸς τοῦ θεοῦ ἅμα τε καὶ θεός ἡμων, [para]ὃς ἔρχεσθαι μέλλει διὰ εὐσπλαγχνίαν καὶ δι’ ἀνθρώπους ἄνθρωπος γίνεται ἀνθρώπους λυτρούμενος· καὶ ἐκ παρθένου μήτρας προέρχεται [para]πρᾶγμα φοβερὸν καὶ δυσπαράδεκτον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅπερ θαυμάσει ἡ κτίσις πᾶσα, [para]ὅτι ἀθάνατος θεὸς συμπολιτεύεται θνητοῖς· ἄλλα τοῦ μυστηρίου γενήσεται ὁ υἱός σου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 13.61 Μὴ θαυμάσῃς οὐκοῦν, ὅτι ἡ στεῖρα τέξεται· [para]καὶ γὰρ ἔχεις ἰδεῖν καὶ τὴν παρθένον τίκτουσαν [para]καὶ τότε ἐκστήσῃ μειζόνως ἐν τούτῳ· ἐκ παραδόξου παραδοξότερον θεάσῃ, πρεσβύτατε, καὶ ἐκ τῶν πρώτων τὰ τελευταῖα σοι καὶ τοῖς μετὰ σὲ παραδειχθήσεται· ἐνταῦθα μέντοι κατὰ τὴν φύσιν [para]τῇ συνελεύσει τῇ πρὸς σὲ ἡ στεῖρα τέξεται υἱόν· ἀλλ' ἐκεῖ ὑπὲρ φύσιν, οὗ ἐστὶν ὁ Ἰωάννης |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.":|

book 13bis.61 [„Μάρτυράς μοι πιστοὺς τῶν λεγομένων ποίησον· [para]οὐδὲ γὰρ τὸ τυχὸν λέγεις μοι βεβαιούμενος· [para]θεὸς πῶς ἐν μήτρᾳ παρθένου οἰκήσει; καὶ σὺ γὰρ ἔφης ὡς ἀκατάληπτον ὑπάρχει καὶ ἄφραστον· εἰ δὲ καὶ τοῦτο θεὸς ἐργάσεται, [para]πῶς ἐκ τῆς ἐμῆς ὀσφύος λήψεται τὸν προδρομοῦντα αὐτοῦ τῆς ξένης [para]ἐπιφανείας καὶ φρικτῆς; τί με τὸν γέροντα θροεῖς; οὐχ ἁπλῶς σοι πιστεύω, ὅτι ἔσται ὑΐός μοι |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.":|]

book 14.61 „Ὁδηγήσω σε νῦν καὶ τὴν γραφὴν διδάξω σε· [para]Ἠσαΐας ποτὲ προφητικῶς ἐκήρυξε [para]περὶ τοῦ υἱοῦ σου, ὃν τίκτει στεῖρα· „Φωνὴ βοῶντοσ" τοῦτον ἐκάλεσε, φωνὴ καὶ κληθήσεται· φωνὴ τοῦ Λόγου πάντων ἡγήσεται, [para]τοῦ Ἐμμανουὴλ πρῶτος ἐλεύσεται· τοῦ βασιλέως ὁ στρατιώτης [para]καὶ τοῦ δεσπότου ὁ πιστὸς προτρέχει δοῦλος ἐπὶ γῆς τὴν ὁδὸν ἑτοιμάζων καὶ καλούμενος ἐν κόσμῳ |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.":|

book 15.61 Νῦν μὲν ὁ Γαβριὴλ τούτοις τοῖς λόγοις κέχρηται· [para]ἄλλα ὁ ἱερεὺς καθ' ἑαυτὸν λογίζεται [para]τοῦ τόπου τὸ σέβας καὶ τοῦ προσλαλοῦντος· „Ναὸς ὑπάρχει τοῦ παντοκράτορος σεπτὸς καὶ πανάγιος, παστὰς ἀγγέλοις καὶ ταῖς δυνάμεσι καὶ τοῖς Χερουβὶμ τοῖς λειτουργοῖς αὐτου· ἀπατηλὸς δὲ οὐκ ἂν ἐνταῦθα [para]ποτὲ ἐθάρρησεν ἐλθεῖν καὶ ἀπατῆσαι τοὺς πιστούς· ἀλλ' οὐδ' οὕτως πιστεύω, ὅτι ἔσται ὑΐός μου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.":|

book 16.61 Δριμυχθεὶς οὐ μικρὸν ὁ Γαβριὴλ ὀργίζεται [para]καὶ φησὶ πρὸς αὐτόν· „Ἔδει σε, ὦ πρεσβύτατε, [para]μὴ ἀμφισβητῆσαι πρὸς τὰ λαληθέντα· ἀλλ' ἐπειδήπερ σὺ οὐκ ἐπίστευσας τοῖς λόγοις οἷς εἶπον σοι, οὐ μὴ λαλήσεις, ἕως οὗ γένηται [para]ἔργοις καὶ καιροῖς ἅπερ λελάληκα· τὴν γὰρ σφαλεῖσαν φωνὴν ἐγώ σου [para]ἐπέχω ὡς ἀπιστηθεὶς καὶ σωφρονίσω πρὸς καιρόν, ἕως ὅτε τεχθείς σοι τὴν φωνήν 〈σου〉 ἀποδώσει |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.":|

book 16bis.61 ⟦„Ἀπιστεῖς μοι;" φησὶ τῷ ἱερεῖ ὁ ἄγγελος· [para]„πειραθήσῃ λοιπὸν θείας ἀγανακτήσεως· [para]ἰδοὺ γὰρ δεσμός σου τῆς γλώσσης κρατήσει· ἄφωνος λοιπὸν μένεις ἐπάξιον λαβὼν ἐπιτίμιον, [para]ἕως γεννήσῃς φωνὴν τὴν λύσασαν [para]τῆς ἀφωνιᾶς σὲ τὸν γεννήσαντα καὶ ὑποδείξει Χριστὸν ἀνθρώποις [para]τὸν ἀφαιρούμενον αὐτῶν τὰς ἁμαρτίας ὡς θεός· καὶ γὰρ οὗτος ὑπάρξει τῆς αὐτοῦ παρουσίας |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.":|⟧

book 17.61 Ὁ ἀσώματος μὲν ταῦτα εἰπὼν ἀπέρχεται, [para]ὁ λαὸς δὲ ἑστὼς τὸν ἱερέα ἔμενε θαυμάζων καὶ λέγων· „Τίνος ἆρα χάριν τοσοῦτον χρόνον ἔσω ἐβράδυνε νυνὶ ὁ πρεσβύτατος; οὐδέποτέ γαρ τοῦτο ἐγένετο." [para]πᾶς οὐν ὁ λαὸς τότε ἐξίστατο· ἀλλ' ὁ πρεσβύτης ἐξῆλθε μόνος [para]καὶ διανεύων τῷ λαῷ ἐγνώσθη πᾶσι μὴ λαλῶν· καὶ λοιπὸν ἐσιώπα, ἕως ὅτε ἐτέχθη |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 18.61 Μέτα τὴν σιωπὴν ἔβλεπεν ὁ πρεσβύτατος ἐν τοῖς ἔργοις αὐτοῖς τὰ τοῦ ἀγγέλου ῥήματα, τὴν ἄκαρπον πρώην νῦν καρποφοροῦσαν· [para]ἧς μέτα χρόνον πάλιν τεθέαται παρθένον ἐγκύμονα „Ἡ στεῖρα", λέγων, „ἤδη συνέλαβε, μήτηρ δὲ φωνῆς πάντων γενήσεται· ἐγὼ φωνῆς μεν ἀπεστερήθην, ὁ πρώην εὔλαλος ἀεὶ εὑρέθην ἄλαλος νυνί· ἀλλὰ πάλιν φωνήν μοι προξενήσει ὁ ἐκ στείρας |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.":| Ἰωάννην οὐκοῦν ὁ Ζαχαρίας ἔμενεν,

book 19.61

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ σιγὴ τὴν φωνὴν τίκτεσθαι ἐξεδέχετο, [para]ὁ γέρων τὸν νέον τὸν ἐξ Ἐλισάβετ· ὁ πρόδρομός δε τότε κρατούμενος δεσμοῖς τοῖς τῆς φύσεως [para]καὶ ἐν τῇ μήτρᾳ ἔτι κρυπτόμενος κράζει οὐ φωνῇ ἀλλὰ σκιρτήμασι· „Τὴν κτίσιν οὔπω ἐγὼ κατεῖδον [para]καὶ προμηνύω σοι τὸν σὸν δημιουργὸν καὶ λυτρωτήν· πρὸ γεννήσεως σπεύδω τοῦ λόγου τοῦ προανάρχου |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 20.61 Τῇ τῶν λόγον φωνῇ προφητικῶς προήγγελε· [para]σαρκωθέντα αὐτὸν προθεωρῶν ἠγάλλετο· τὸν κόσμον οὐκ εἶδε καὶ κόσμῳ συγχαίρει· τὸ φῶς μὴ βλέπων εἶδε τὸν ἥλιον τὸν πάντας φωτίζοντα· δεσπότην βλέπων παραγενόμενον, [para]χρόνον τοκετοῦ οὐ περιέμενεν· ἀλλὰ καὶ φεύγειν ἐφιλονείκει [para]πρὸ τῆς γεννήσεως αὐτοῦ τὰ τῆς γαστρὸς τότε δεσμὰ „Τί κατέχομαι“, λέγων, „ὅτι ἦλθεν οὗ ὑπάρχω |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος;“:|

book 21.61 Ἰωάννης μὲν οὖν ἐξ Ἐλισάβετ τίκτεται, [para]ὁ πατήρ δε αὐτοῦ ἐκ παραδόξου φθέγγεται [para]τὴν προσηγορίαν τοῦ νέου συγγράφων· ἐρωτηθείς γαρ „Τίνα καλέσωμεν τεχθὲν τὸ παιδάριον;“ αἰτήσας δέλτον γράφει τὸ ὄνομα, [para]ὅπερ πρὸς αὐτὸν εἶπεν ὁ ἄγγελος· ἀγράφοις λόγοις ὁ μὴ πιστεύσας [para]ἐγγράφως ἄρτι τοῦ υἱοῦ κηρύττει ὄνομα εἰπών· „Ἰωάννης καλείσθω ὁ τεχθεὶς καὶ ὁ ὑπάρχων |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 22.61 Ὁ ἀκούσας τὸ πρὶν καὶ μὴ πιστεύσας ῥήμασι [para]τῇ φωνῇ ἑαυτοῦ τοῦτο ἐνομοθέτησε· [para]καὶ ἡ δεξιά μεν ἔσπευδε τοῦ γράφειν, ἀλλὰ προφθάσαι ταύτην ἠπείγετο ἡ γλῶσσα τοῦ γέροντος, καί, πρὶν προγράψῃ ὅλον τὸ ὄνομα, [para]λύεται δεσμὸς ὁ τῆς φωνῆς αὐτου· τὸ γράμμα οὔπω ὑπανεγνώσθη, [para]ὁ δὲ ἐκέκραγε βοῶν καὶ εὐλογῶν τὸν λυτρωτήν· „Ἰωάννης καλείσθω ὁ τεχθεὶς καὶ ὁ ὑπάρχων |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.“:|

book 23.61 Ὑιὲ τοῦ θεοῦ, σύ εἰ θεὸς προάναρχος, [para]τοῦ ἀνάρχου πατρὸς σύνθρονος καὶ τοῦ πνεύματος, [para]ἀρρήτως, ἀφράστως τεχθεὶς ἐκ παρθένου· ὁ δι’ ἀνθρώπους ἄνθρωπος τέλειος ἀτρέπτως γενάμενος, παράσχου πᾶσι δόξαν καὶ ἄφεσιν [para]καὶ ἐπιστροφὴν τοῖς προσιοῦσι σοι, καὶ σῶσον πάντας ταῖς ἱκεσίας [para]τῆς παναμώμου σου μητρὸς καὶ τοῦ ἐνδόξου βαπτιστοῦ· καὶ αὐτός γαρ πρεσβεύει ὑπὲρ πάντων ὡς ὑπάρχων |:προφήτης, κῆρυξ ὁμοῦ καὶ πρόδρομος.:|

book 1.62 Ἀρχιστράτηγε θεοῦ, λειτουργὲ θείας δόξης, [para]τῶν ἀγγέλων ὁδηγὲ καὶ ἀρχηγὲ ἀσωμάτων, [para]τὸ συμφέρον ἡμῖν πρέσβευε καὶ τὸ μέγα ἔλεος, |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 1.62 Ἔφης, φιλάνθρωπε, ἐν γραφαῖς σου πλήθη χαίρειν ἀγγέλων ἐπ’ ἀνθρώπῳ ἑνὶ μετανοοῦντι, ἀθάνατε· ὅθεν ἡμεῖς οἱ ἐν ἁμαρτίαις, ἀναμάρτητε μόνε καρδιογνῶστα, σὲ δυσωπεῖν καθ’ ἑκάστην τολμῶμεν ὡς εὔσπλαγχνον, οἰκτεῖραι καὶ καταπέμψαι ἀναξίοις κατάνυξιν, δέσποτα, παρέχων ἥμιν συγχώρησιν· ὑπὲρ πάντων ἡμῶν γὰρ πρεσβεύει σοι |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 2.62 Ἴσχυσαν πάλαι οἱ Νινευῖται μετανοίᾳ θυμόν σου ἐκμειλίξαι, σωτήρ, διὰ νηστείας, ὡς γέγραπται· νῦν δὲ ἡμᾶς εὐσπλαγχνίας πλούτῳ ἐλεήσας τὴν ἄφεσιν δίδου πᾶσιν· ὡς γὰρ θεὸς οἰκτειρήσας ηὐδόκησας σάρκα λαβεῖν καὶ τίκτῃ φιλανθρωπίᾳ μυστηρίῳ τῷ σῷ ὑπουργήσαντος τοῦ πρωτοστάτου ⟦τῶν⟧ νοῶν Γαβριήλ, ὃς σταλεὶς τῇ παρθένῳ τὸ „Χαῖρε“ βοᾷ, |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 3.62 Σὺ φοβερός εἰ ⟦ὁ⟧ κτίστης τῶν ὅλων, ὁ ποιήσας ἀγγέλους πυραυγεῖς, φοβεροὺς καὶ πνεύματα λειτουργοῦντα σοι· σοὶ παρειστήκεισαν κύκλῳ τάξεις τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων· σὺ ταῖς ἀρχαῖς ἐξουσίαις δυνάμεις συνέζευξας σὺν τούτοις ἅμα καὶ θρόνοις κυριότητας τάξας δουλεύειν σοι· διέπεις πάντα προστάγματι, καὶ ὑπείκει θελήματι σῷ, ἀγαθέ, |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 4.62 Τί προσαγάγῃ ὁ χοῦς τῷ πλάστῃ; τί ἀντάξιον δώσῃ ἡ πηλὸς τῷ θεῷ τῷ μόνῳ δημιουργήσαντι; οὐ γὰρ ἠρκέσθη τοῦ πλάσαι μόνον, ἀλλὰ δέδωκεν ἄγγελον φυλάττειν τοῦτον· ἔχομεν οὖν

φυλακτήριον ἄγγελον ἕκαστος, καί, τοῦτον ἐὰν τιμῶμεν, τῶν ἀτόπων γινόμεθα πάντων ἐκτός· ὁδὸν ἡμῶν γαρ εὐθύνει ἀεὶ ὡς δοθεὶς φυλακτήριον πᾶσιν ἡμῖν |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 5.62 Ὅπλοις στεφόμεθα εὐδοκίας τοῖς ἀΰλοις οἱ πάντες τῶν ἀγγέλων χοροῖς παντόθεν περικυκλούμενοι· φύλακες γὰρ τῶν σωμάτων μόνον οὐκ εἰσίν, ἀλλὰ γὰρ καὶ ψυχῶν προστάται καὶ ἐν πολέμοις ἐφάνησαν πλείστων ὑπέρμαχοι· καὶ μάρτυς τούτων ὑπάρχει Βαλαὰμ καὶ σὺν τούτῳ Ἰησοῦς ὁ Ναυῆ καὶ Δανιὴλ ὁ σοφώτατος, ὅστις τὸν Γαβριὴλ ἐθεάσατο |:τὸν τῶν ἀσωμάτων ἀρχιστράτηγον.:|

book 6.62 Νίκην πολέμου διὰ κατάρας ἐπιφέρειν νομίσας τῷ λαῷ ἑαυτοῦ ὁ τῆς Μωὰβ βασιλεὺς Βαλαάκ, πέμψας πρεσβείαν μετακαλεῖται Βαλαὰμ μαντευόμενον ἐν κυρίῳ „Ἄρασαί μοὶ ἐξ Αἰγύπτου λαόν“ λέγων τῷ Βαλαάμ, ὃς εἶδε διὰ τῆς ὄνου ἀνθρωπίνῃ φωνῇ λαλησάσης αὐτῷ λεγούσης· „Βλέπε, ⟦πῶσ⟧ κωλύει με τὴν ὁδὸν παρελθεῖν ἀνθιστάμενος |:τὸν τῶν ἀσωμάτων 〈ἀρχιστράτηγον〉“.:|

book 7.62 Ἂν οὖν σιγήσω καὶ μὴ λαλήσω, ὅσην δόξαν παρέσχε τοῖς ἀνθρώποις θεός, ὡς ἄδικος κατακρίνομαι· διὸ παράσχου μοι λόγον, Λόγε, ὁ ἀνοίξας τῆς ὄνου στόμα λαλῆσαι, ἵν’ εἴπω ἅπερ πάλαι παρέσχες καὶ νῦν ἀγαθά, ἀγγέλους τάξας ἁγίους εἰς τὸ σώζειν ἀνθρώπους ὡς εὔσπλαγχνος· καὶ Ἰησοῦ γὰρ ποτὲ τοῦ Ναυῆ πολεμοῦντι ἐχθροὺς σὺ κατέπεμψας |:τὸν τῶν ἀσωμάτων ἀρχιστράτηγον.:|

book 8.62 Ῥήματα τότε τῷ πολεμάρχῃ ὁ ἀσώματος εἶπε περὶ τοῦ Ἰσραὴλ τοῖς ὅπλοις θωρακισμένος· μόνον δὲ εἶδεν ἑστῶτα τοῦτον Ἰησοῦς, ἐπηρώτησε οὕτως λέγων· „Ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων; σαφήνισον“· εὐθέως ἀνταπεκρίθη· „Ἀρχιστράτηγος πέλω θεοῦ σαβαώθ· ὑπόλυσαι ὑποδήματα, ὡς προστάττω ἐγὼ ὁ σταλεὶς ἐκ θεοῦ, |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 9.62 Χάριν ὑμῶν ἐγὼ ἀπεστάλην, ἵνα τοὺς ἀλλοφύλους πρὸ προσώπου ὑμῶν ἐξολοθρεύσω δυνάμει μου“· φόβῳ δὲ τότε προσπίπτει τούτῳ καὶ αἰτεῖ τὸν ἀσώματον ἱκετεύων· „Τί οὖν προστάττεις οἰκέτῃ τῷ σῷ, ταξιάρχα θεοῦ, ποιῆσαι; πῶς προσετάχθης; μὴ δὴ κρύψῃς εἰπεῖν ἃ συμφέρει μοι· θεὸς κελεύσας ἀπέστειλε σέ, ἵνα σώσῃς λαὸν τοῦ Ἰσραήλ, |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγοσ“.:|

book 10.62 Ἰεριχὼ παρέλαβε πόλιν Ἰησοῦς ὁδηγοῦντος τοῦ ἀγγέλου αὐτόν· εὐχῇ γὰρ τείχη κατέαξε· ταῦτα δὲ λέγων κηρύττω πᾶσι τὴν θεοῦ πρὸς ἀνθρώπους φιλανθρωπίαν, πῶς ἐξ ἀρχῆς τοὺς ἀνθρώπους φυλάττουσιν ἄγγελοι· ἐξείπω ἄλλην ἀγγέλου ἐπὶ τοῦ Μανωὲ συγκατάβασιν; αὐτὸς δηλώσας Σαμψὼν τοκετὸν ἀναπέμπειν θυσίας προσέταττεν |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 11.62 Σώζει δὲ πάλιν Ἰσραηλίτας δι’ ἀγγέλου ἁγίου ἐπὶ τοῦ Γεδεὼν ⟦ὁ θεὸσ⟧ καὶ Μαδιὰμ ἐξωλόθρευσεν, ὥσπερ καὶ ἔπι τοῦ Ἐζεκίου Ἀσσυρίους κατέβαλε δι’ ἀγγέλου· καὶ Ζαχαρίᾳ ἀπέστειλεν ἐν τῷ ναῷ Γαβριήλ, ὅς, λέξας τὴν τοῦ προδρόμου σύλληψιν, ἠπιστεύθη καὶ κώφευσιν τῷ Ζαχαρίᾳ ἐπέβαλε, καὶ 〈ἀπ〉 έμεινεν οὕτως ὡς ἔφησεν |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 12.62 Τίνι ἑτέρῳ εἶχε πιστεῦσαι κεκρυμμένον ἀρρήτως πρὸ αἰώνων φρικτὸν μυστήριον τῆς σαρκώσεως; κἂν γαρ προφῆται ἔφησαν τοῦτο, ἐν αἰνίγμασιν εἶπαν καθὼς ἐχώρουν· μόνῳ οὐν τῷ Γαβριὴλ φανεροῖ ὁ θεὸς τὸ κρυπτὸν καὶ στέλλει πιστὸν ὡς δοῦλον πρὸς παρθένον ἁγνὴν εἰς πόλιν Ναζαρέτ· ὃς κατελθὼν ἐπὶ γῆς πρὸς αὐτὴν μετὰ φόβου βοᾷ· „Χαῖρε, μῆτερ θεοῦ“ |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 13.62 Ῥῆμα θεοῦ διὰ τῶν ἀγγέλων ἀπεστάλη πρὸς πάντας τοὺς ἀνθρώπους ἀεί· αὐτῷ γὰρ πάντες παρίστανται· καὶ σωτηρία πιστοῖς ἐδόθη ἡ αὐτῶν ἀκατάληπτος προστασία, ἣν ἀσφαλῆ οἱ προστρέχοντες σκέπην κεκτήμεθα αἰτοῦντες τὸν ταξιάρχην τὰς ἡμῶν ἱκεσίας καὶ τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσευχὰς ἀεὶ προσάγειν τῷ πάντων θεῷ ὡς τῷ θρόνῳ αὐτοῦ παριστάμενον, |:ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγον.:|

book 14.62 Ἄισωμεν ᾆσμα τῷ πάντων κτίστῃ σὺν ἀγγέλοις αἰνοῦντες καὶ ὑμνοῦντες Χριστὸν βουλῇ τεχθέντα ὡς ἄνθρωπον· „δόξα!“ βοῶντες θεῷ ὑψίστῳ ἐπὶ γῆς τῷ εἰρήνην δωρησαμένῳ πᾶσι βροτοῖς εὐδοκίᾳ πατρὸς καὶ τοῦ πνεύματος· Χριστός γαρ ἐνανθρωπήσας τοῦ φραγμοῦ τὸ μεσότοιχον ἔλυσε, καὶ χαίρουσι πάντες ἄγγελοι ἐφ’ ἑνὶ σωζωμένῳ βροτῷ καὶ αὐτὸς |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 15.62 Τεῖχος ἀπόρθητον ἔχομέν σε, ἀρχιστράτηγε, πάντες οἱ προστρέχοντες σοὶ καὶ τῶν κινδύνων λυτρούμεθα· ὑπὸ τὴν σκέπην γὰρ τῶν πτερύγων τῆς ἀΰλου σου δόξης καταφυγόντες τῶν δυσχερῶν καὶ ἀτόπων λυτρούμεθα πράξεων· τὴν σήν γαρ ἐπιποθοῦντες προστασίαν ἡμεῖς οἱ ἀνάξιοι τὰς ἱκεσίας προσφέρομεν, ἵνα ταύτας θεῷ προσαγάγῃς αὐτὸς |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 16.62 Ἡ πολυπόθητος καὶ τιμία τῆς ἁγίας σου δόξης τοῦ ναοῦ σου σκηνή, ἐν ᾗ προστρέχομεν ἅπαντες, ἐν ἐπισκέψει θαυμαζομένη ἐξιᾶται τὰς νόσους καὶ ἀλγηδόνας ἔχουσα σὲ ἐνοικοῦντα καὶ περιοδεύοντα· τὰ πάθη ἀποσοβοῦσα περιβόητος πέλει ἐν πάσῃ τῇ γῇ· διὸ καὶ μέ, λειτουργέ θεου, ψυχικῶν νοσημάτων ἀπάλλαξον, |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 17.62 Γνώμην προσδέχου εὐχαριστοῦσαν, καὶ γὰρ ἄξιον τί σοι ⟦προσ⟧ἀγαγεῖν ἀπορῶν ὑμνοῦσαν γλῶτταν προσφέρω σοι, ὑπὲρ χρυσίον εὐγνωμοσύνην, ὑπὲρ λίθους σαπφείρους εὐχαριστίαν, καὶ ὡς μικρὰν προσφοράν σοι προσφέρω τὰ ῥήματα· ἀντί οὒν πλειόνων δέχου τὰ ἐλάχιστα πίστει με λέξαντα, καὶ τῶν πταισμάτων συγχώρησιν πάρα τοῦ ἀθανάτου μοι αἴτησαι, |:ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.:|

book 18.62 Ὅτε εἰσέλθω ἐν τῷ ναῷ σου, ἀρχιστράτηγε δόξης τοῦ θεοῦ σαβαώθ, εὐθὺς πληροῦμαι τῆς χάριτος καὶ ὑπερτέρω τῶν ἐπιγείων ἀνιέναι νομίζω ἐπὶ τὸ κρεῖττον καὶ εἰσιέναι δοκῶ εἰς αὐτὸν τὸν παράδεισον· τρυγῶ δε ἀντὶ ἀνθέων τὴν ὑγείαν καὶ ῥῶσιν τοῦ σκήνους μου, καὶ λύσιν πάντων ἁμαρτιῶν διὰ τῶν πρεσβειῶν σου ἐλπίζω εὑρεῖν, |:ὦ τῶν ἀσωμάτων 〈ἀρχιστράτηγε〉.:|

book 19.62 Νῦν ἱκετεύω σέ, ταξιάρχα, τοῦ πρεσβεύειν ἀπαύστως τῷ θεῷ ἐκτενῶς, ᾧ λειτουργεῖς καὶ παρίστασαι, τοὺς εὐσεβεῖς βασιλεῖς φυλάττειν καὶ τὴν ποίμνην ἀτάραχον σὺν ποιμένι, δοῦναι τῇ γῇ εὐφορίαν καρπῶν καὶ καιροὺς ἀγαθούς, τὴν πίστιν ὀρθοτομεῖσθαι, ἐκκλησίαις παρέχειν τὴν ἕνωσιν, τὰς τῶν αἱρέσεων λύειν ὁρμὰς καὶ τὰ βάρβαρα ἔθνη σοβεῖν διὰ σοῦ, |:ὦ τῶν ἀσωμάτων 〈ἀρχιστράτηγε〉.:|

book 1.63 Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν [para]καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις προσκυνεῖν ἐν τριάδι τὸν ἕνα θεόν· [para]Ἰωάννη Χρυσόστομε, παμμακάριστε ὅσιε, ἐπαξίως εὐφημοῦμεν σε· |:〈τῶν περάτων γὰρ αὐτὸσ〉 ὑπάρχεις καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 1.63 Τῷ τῶν ὅλων ποιητῇ κλίνω τὸ γόνυ, [para]τῷ πρὸ αἰώνων Λόγῳ χεῖρας ἐκτείνω [para]λόγου ζητῶν χάρισμα, ἵν’ ὑμνήσω τὸν ὅσιον, ὃν αὐτὸς ἐμεγάλυνε· φησὶ γὰρ τῷ προφήτῃ ὁ ζῶν εἰς τοὺς αἰῶνας· „Δοξάσω τοὺς ἐν πίστει δοξάζοντας μέ“· ὁ οὖν ἐν τοῖς πάλαι τὸν Σαμουὴλ ἀνυψώσας [para]ἐδόξασέ νυν τὸν ἱεράρχην· [para]τὸ τάλαντόν γαρ, ὃ ἐπιστεύθη, καλῶς ἐμπορευσάμενος τῷ βασιλεῖ προσήγαγε·

book 1.63 διὸ καὶ ὑπερύψωσεν αὐτὸν ὁ ὑπερούσιος· τούτου γὰρ χάριν αἰτῶ ὁ ἀνάξιος ἐγὼ λόγον δέξασθαι μέ, [para]ἵν’ ἰσχύσω εὐσεβῶς ἀνυμνῆσαι αὐτόν· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχεις καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 2.63 Ὁ μὲν ἥλιος λάμπων, ὡς φθάσας εἶπον, [para]τὰ ἐν κόσμῳ εὐφραίνει, πανήμερόν δε [para]δρόμον ποιησάμενος ὑπ’ ἐκείνης δεσπόζεται, ἧς δεσπόζων ἐτύγχανε· καθάπερ γὰρ χιτῶνι

καλύπτεται τῷ σκότῳ καὶ νὺξ καταλαβοῦσα ἀμβλύνει αὐτόν· τοῦ δὲ πανολβίου ἀρχιερέως τὸ κλέος [para]καὶ ἡ ἡμέρα ἀνακηρύττει, [para]καὶ νὺξ δὲ πάλιν θαυμάζει ἄγαν, πῶς διασχίσαι ἴσχυσε τὴν τῶν πραγμάτων θύελλαν παρασταθῆναι ἄμωμος Χριστῷ τῷ βασιλεῖ ἡμων· ἤκουσε γὰρ παρ' αὐτοῦ· „Σὺ ἐδόξασας ἐμὲ ἐπὶ τῶν γηγενῶν, [para]καὶ ἐγὼ ἐν οὐρανοῖς δόξαν δίδωμι σοί“· |:τῶν περάτων γαρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 2bis.63 ⟦Ὁ τῶν ἐπουρανίων ἀρχιεράρχης [para]τοῦτον ἡμῖν παρέσχεν ἀρχιερέα [para]θεῖον, ἀξιάγαστον, τὸν ἐπίγειον ἄγγελον καὶ οὐράνιον ἄνθρωπον, τὸν ὄντως θεολόγον καὶ τῆς τριάδος μύστην [para]καὶ ὅλης ⟦τῆσ⟧ οἰκουμένης ῥήτορα τρανόν· αὐτὸς γὰρ τὸ δόγμα τῆς εὐσεβείας πλατύνας [para]τὸν κατελθόντα ἐκ τῶν ὑψίστων [para]καὶ σαρκωθέντα καὶ σταυρωθέντα Χριστὸν καλεῖ καὶ κύριον τῆς δόξης ὁ σοφώτατος θεὸν ὁμοῦ καὶ ἄνθρωπον τὸν ἕνα καὶ ἀμέριστον· καὶ τὴν τεκοῦσαν αὐτὸν θεοτόκον ἀληθῶς καὶ μητέραν αὐτοῦ [para]ἀνυμνεῖ καὶ προσκυνεῖ καὶ κηρύττει λαοῖς· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|⟧

book 3.63 Ὑπὲρ τὴν τοῦ ἡλίου φαίνει ἀκτῖνα [para]ἡ τοῦ ἐνθέου τούτου ἄδυτος αἴγλη· [para]νέφη γὰρ καλύπτουσι τὴν ἐκείνου, τὴν τούτου δε οὐδὲ νὺξ διαδέχεται· ἐκεῖνος ἀνατέλλων μαρμαρυγὰς ἐκπέμπει καὶ δύνων ἕλκει αὖθις πάσας σὺν αὐτῷ· οὗτος ἀνατείλας κατηύγασε τοὺς ἐν κόσμῳ [para]καὶ τελευτήσας φωτίζει πλέον· [para]περιπολεῖ γαρ μετὰ ἀγγέλων· ἐν οὐρανοῖς γὰρ πέφυκε τὸ τῶν πιστῶν πολίτευμα, μεθ' ὧν Χριστὸς αὐλίζεται ὁ τῶν ἁπάντων κύριος, ὁ τὸν τὰ θεῖα σοφὸν ἐν τῇ τρίβῳ τῆς ζωῆς ὁδηγήσας καλῶς [para]ὥσπερ καὶ τὸν Ἀαρὼν καὶ τὸν Μελχισεδέκ· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχεις καθηγητὴς ὡς τὰ θεῖα σοφός:|

book 4.63 Τοὺς προπάτορας αὐτοῦ παραζηλώσας [para]ὁ σοφὸς οὗτος ποιμὴν πάντων διῆλθε, πάντας ὑπερέβαλε ταπεινώσει ὑψούμενος τοῖς χρηστοῖς αὐτου ἤθεσι· Χριστός γαρ τοῦτον ὄντως ἐδόξασε πλουσίως ἐν ταῖς διδασκαλίαις παρέχων αὐτῷ πλουσίαν τὴν γνῶσιν τὴν τῶν γραφῶν ἑρμηνεύειν [para]τοῖς ἐκζητοῦσι τὴν σωτηρίαν [para]τῆς μετανοίας ὁδὸν βαδίζειν· τούτοις ἐγκελευόμενος ὁ πρᾶος καὶ ἡσύχιος πληρώσας τὸ ἐπάγγελμα τὸ τοῦ σωτῆρος, αὖθις δε τοὺς πάντας φωταγωγῶν, ὁδηγῶν καὶ συνετῶν καὶ δεικνύων αὐτοῖς [para]ἐπιμένειν τοῖς καλοῖς ἐκδιδάσκων αὐτούς· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχεις καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 5.63 Ἀγνοῶ, πῶς τὸν θεῖον προσαγορεύσω· [para]στρατηγόν, ἱερέα ἢ τροπαιοῦχον; [para]ὃς διὰ τοῦ μέλανος καὶ καλάμου τοξεύμασι τὰς αἱρέσεις κατέβαλε· καλέσω ἀθλοφόρον; ὡς ὁμολογητής γαρ στεφανηφόρος μάρτυς παρέστη Χριστῷ· ἀλλ' εἴπω ἰατρόν; τοὺς γὰρ νοσοῦντας ἰᾶται [para]καὶ ἐκ πνευμάτων δεινῶν λυτροῦται· [para]θαυματουργεῖ γαρ ἀδιαλείπτως· ὁλκάδα πανθαύμαστον ἢ κυβερνήτην δόκιμον;

book 5.63 πολλοὺς γὰρ σώζει πάντοτε ἐπὶ λιμένα εὔδιον· πῶς οὖν καλέσω αὐτόν; τεῖχος, πέτραν ἢ πηγὴν ἢ Χριστοῦ μαθητήν; [para]πάντα ἔστι· πᾶσι γὰρ χορηγεῖ ἀγαθά· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός:|

book 6.63 Παράδεισος ὑπάρχει θεολογίας [para]πνευματικῶν ἀνθέων πεπληρωμένος [para]οὗτος ὁ θεάρεστος· τὸ γὰρ ξύλον τὸ τῆς ζωῆς ὁ σταυρὸς τοῦ θεοῦ ἡμων ὡς πρὶν ἐν παραδείσῳ ἐδείχθη καὶ ἐν τούτῳ τοῦ σώζειν τοὺς ἐν πίστει φρουροῦντας αὐτόν· πηγὴ ἡ τῆς Ἐδὲμ τετραμερῶς διαιρεῖται [para]καὶ πᾶσαν κτίσιν καταπλουτίζει· ἀλλ' οὗτος μείζων ἐκείνης ὤφθη· ἡ μὲν τῇ γῇ ὠφέλιμος, ὁ δὲ ἀνθρώποις ἅπασιν·

book 6.63 ἐκείνη βλύζει νάματα, καὶ οὗτος λόγον ἅγιον· 〈τὰ〉 τετραπέρατα γὰρ ὡς παράδεισος τερπνὸς εὐωδίας πληροῖ [para]τὰ θεόπνευστα αὐτοῦ λόγια χορηγῶν· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 7.63

Ἐξεχύθη ἀληθῶς ἐκ τῶν σῶν χειλέων [para]ὑπὲρ μέλι καὶ κηρίον ἡ γλυκύτης [para]τῆς διδασκαλίας σου, Ἰωάννη πανθαύμαστε, καὶ τὸν κόσμον ἐπλήρωσε· γλυκάνας καὶ εὐφράνας τοὺς πικροτάτῃ βρώσει ἀπογευσαμένους ἐκ τοῦ πονηροῦ, προσάξας δὲ τούτους θυσίαν ζῶσαν κυρίῳ [para]τῷ ἀγαθῷ τε καὶ φιλανθρώπῳ, [para]τῷ σωτηρίαν θέλοντι πάντων· ἐν τούτῳ γὰρ ἐδόξασε σὲ ἀληθῶς, πανεύφημε· ἐν τούτοις καὶ ἐκάλεσεν ἐπάξιως Χρυσόστομον καὶ μαθητὴν ἑαυτοῦ τρισκαιδέκατον, σοφέ, συντάξας τοῖς αὐτοῦ [para]ἀποστόλοις ὡς λαβόντα χάριν παρ' αὐτοῦ· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχεις καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 8.63 Ἰσορρόπους τοῖς πράγμασιν οὐχ εὑρίσκω [para]λόγους πρὸς τὸ ὑμνῆσαι τὸν Ἰωάννην· [para]λόγῳ γὰρ καὶ πράγματι καὶ ἐννοίᾳ ὑπέρκειται τοῦ σεπτοῦ ἡ διήγησις· ἀκέραιος ἐν πᾶσιν ὁ Ἄβελ ἀνεδείχθη καθάπερ ὁ τὰ θεῖα σοφώτατος νῦν· ἐκεῖνος τὴν ζωὴν καὶ μετὰ θάνατον ἔχει, [para]ὥσπερ καὶ οὗτος ὁ ταπεινόφρων· [para]καὶ κατοικοῦσι σκηναῖς ἁγίων· Ἐνὼχ δὲ ὁ ἐνάρετος τὸν θάνατον διέφυγε· σκιρτᾷ οὖν καὶ ἀγάλλεται καὶ χαίρει καὶ ὁ ἄπλαστος ἐπὶ τοῖς τέκνοις αὐτοῦ σὺν τῷ Ἄβελ καὶ Ἐνὼχ Ἰωάννην ὁρῶν [para]καὶ σεμνύνεται λοιπὸν ἐπὶ τούτοις καλῶς· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 9.63 Νῶε μὲν ἐκδιδάσκων τοὺς παρανόμους [para]τῶν δεινῶν ἐπιστρέψαι οὐκ ἠδυνήθη· [para]νῦν δὲ ὁ διδάσκαλος τῷ θεῷ ἀναρίθμητα πλήθη ὄντως προσήγαγε· τριώροφον ἐκεῖνος ἐκτήσατο ἑστίαν κἀκεῖ τοὺς ὑπηκόους διεσώσατο· καὶ οὗτος ἐκκλησίας τρισμακαρίστου προέστη [para]ἐν ταύτῃ σώζων τοὺς εὐσεβοῦντας [para]καὶ ἐλευθέρους ποιῶν θανάτου· ἐκείνην οἱ οἰκήσαντες τὸν θάνατον διέφυγον, ἐν ταύτῃ οἱ προστρέχοντες εἰς τὸν αἰῶνα ζήσονται· τὰ πάλαι τύποι τῶν νῦν· ὁ μὲν εἶχε γὰρ ζωὴν ἐπίσαλον ποτέ, [para]οὗτος δὲ ἐπασφαλῆ ἐπὶ πέτραν ἑστώς· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 10.63 Ὁ Ἀβραὰμ τοὺς ἀγγέλους ἐξενοδόχει, [para]ὑπὲρ τοῦτον δὲ ὤφθη ὁ Ἰωάννης· [para]τὴν σκηνὴν γὰρ ἔπηξεν ὑπὸ δρῦν ὁ πρεσβύτατος καὶ ἐκεῖσε διέτριβεν· οὗτος δὲ νῦν ἐν ταύτῃ τῇ Κωνσταντινουπόλει οἰκῶν πρὸς σωτηρίαν πάντων τῶν λαῶν ἑκάστῳ δαψιλῶς τὰ πρὸς τὴν χρείαν ἐδίδου, [para]τροφήν, ἐσθῆτα καί γε πρὸς τούτοις [para]τὸν θεῖον λόγον τῆς εὐσεβείας· ἐκεῖ τοὺς παροδεύοντας ἀνέψυχεν ὁ ἔνθεος, ἐνταῦθα ὁ θεσπέσιος τοὺς κύκλῳ καὶ τοὺς πόρρωθεν· ἐκεῖνος τὸν Ἰσαὰκ πρὸς θυσίαν ἤγαγε τῷ τῶν ὅλων θεῷ, [para]οὗτος δὲ καὶ ἑαυτὸν θύει πνευματικῶς·

book 10.63 |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 11.63 Ὑψηλὸς ἐν τοῖς πάλαι βεβιωκόσιν [para]Ἰακὼβ ἀνεδείχθη ὁ πατριάρχης· [para]οὗτος γάρ, ὡς γέγραπται, τὴν ψυχὴν αὐτου τέθηκε τοῦ ποιμνίου κηδόμενος· καὶ νῦν ὁ ἀγελάρχης τῆς τοῦ Χριστοῦ ἀγέλης τὰ λογικὰ ἀρνία νομεύει πιστῶς· ἐκτρέφων τὰς ψυχὰς τοῖς ὑγιαίνουσι λόγοις [para]καὶ τὰς καρδίας τῶν εὖ φρονούντων [para]τὴν θείαν μάνδραν πληθύνει πᾶσιν· ἐκεῖνος ἐπὶ κλίμακος τὸν κύριον ἑώρακε, καὶ οὗτος διὰ πίστεως τὸν κύριον τεθέαται· ἐκεῖνος 〈μὲν〉 Ἰσραὴλ ὠνομάσθη ὡς πατὴρ τοῦ λαοῦ τοῦ θεοῦ, [para]οὗτος τῶν Χριστιανῶν ⟦ὡσ⟧ διδάσκαλος πιστός· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 12.63 Ῥήτωρ ἐν τῇ Αἰγύπτῳ Μωσῆς ἐδείχθη, [para]ῥήτωρ τῇ οἰκουμένῃ οὗτος ἐγνώσθη· [para]πάλαι ἀντελέγετο τὰ ἐκείνου διδάγματα, νῦν τὰ τούτου κρατύνεται· ἐν τέρασιν ἐκεῖνος προσῆλθεν Αἰγυπτίοις, οὗτος τοῖς ἐν τῷ κόσμῳ ἐν λόγῳ Χριστοῦ· ἐκεῖνος τὸν ὄφιν τῷ λαῷ ὕψωσε πάλαι, [para]νῦν οὗτος πᾶσι θεὸν ἀφράστως [para]σαφῶς κηρύττει σαρκὶ τεχθέντα· ἐκεῖνος οὖν κατῴκησεν εἰς τὰ Ἱεροσόλυμα, οὗτος πολλοὺς συνήγαγε τῇ ἄνω Ἱερουσαλήμ· ἐκεῖνος ἴθυνε πρὶν τὸν λαὸν τοῦ Ἰσραήλ, ἀλλ' οὐκ ἦρξεν αὐτῶν· [para]τοῦτον νῦν οἱ εὐσεβεῖς ἕπονται εὐσεβῶς· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 13.63

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὡς Ἀάρων τὸ πάρος Ἰσραηλίταις, [para]ὁμοίως ἀνεδείχθη τοῖς ἐν τῷ βίῳ [para]οὗτος ὁ πανεύφημος· ἱερεῖς γὰρ ἀμφότεροι τοῦ θεοῦ ἐχρηματίσαν· ἐκεῖνος ἐπωμίδα ἠμφιεσμένος πάλαι, καὶ οὗτος ὠμοφόρον περικείμενος ⟦νῦν⟧· ἐκεῖνος 〈μὲν〉 πλαξὶ λιθίναις κεκολαμμέναις [para]ἐν στήθει φέρων ἐξιλεοῦτο, [para]οὗτος δὲ πόλεις πάσας καὶ δήμους ἔχων ἐν στέρνοις ἔνδοθεν ἐν τῇ καρδίᾳ πάντοτε ὑπὲρ ἁπάντων εὔχεται καθαγιάζων ἅπαντας· ζωοθυσίας ὁ πρὶν ἐκτελέσας ἥγνιζε τὸν λαόν, ὁ δὲ νῦν [para]ἀναιμάκτῳ προσφορᾷ σώζει νῦν τοὺς πιστούς· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 14.63 Μωϋσῆς καὶ Ἀάρων ἐν ἱερεῦσι [para]καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις [para]τοῦ θεοῦ τὸ ὄνομα, ὡς φησὶν ὁ μελίρρυτος κελαδῶν ἐν τοῖς ᾄσμασι· καὶ Φινεὲς ἐκεῖνον τὸν ζηλωτὴν τοῦ νόμου ὡσαύτως μεγαλύνει ὁ πρᾶος Δαβίδ· καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο 〈τότε〉, [para]καὶ ἐκοπᾶσεν ἡ θραῦσις πᾶσα [para]καὶ εἰς δικαίους κατελογίσθη· οὗτος δὲ ὁ πανόλβιος πολυμερῶς ὑπόκειται· ἀρχιερεὺς γὰρ πέφυκε πρὸς τὸν τοῦ κόσμου κύριον ἐπικαλεῖ τε πιστῶς ὡς τῆς ποίμνης ἀρχηγός, ἐξαιρεῖ τε ἀεὶ [para]ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τὸν λαὸν τοῦ Χριστοῦ· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 15.63 Ἀνιστάμενος ὄρθρου ἀεὶ προσῆγεν [para]ὁ Ἰὼβ τὰς θυσίας ὑπὲρ τῶν τέκνων [para]λέγων ὁ φιλόθεος· „Μήποτε ἐνενόησαν πονηρὰ ταῖς ψυχαῖς αὐτῶν“· ὁ δὲ ἱεροφάντης ὑπὲρ τῶν ὀρθοδόξων ἀναίμακτον θυσίαν προσάγει θεῷ· ἐκεῖνος μὲν ἄκων τῶν ἑαυτοῦ ἐστερήθη, [para]οὗτος ἑκών δε ἀεὶ δωρεῖται [para]τοῖς δεομένοις τὴν εὐλογίαν· ἐκείνου τοῖς παλαίσμασιν ἡττήθη ὁ διάβολος, καὶ τούτου τοῖς κηρύγμασι διδράσκει πᾶσα αἵρεσις· ἐν τοῖς συμβᾶσιν αὐτῷ οὐχὶ ἥμαρτεν Ἰώβ, ὡς φησὶν ἡ γραφή, [para]ἀλλ’ ὑπέρκειται αὐτῷ οὗτος ὁ ἱερεύς· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 16.63 Νουνεχῶς ὁ προφήτης Δαβὶδ ἐβόα· [para]„Οἱ ἱερεῖς τοῦ θεοῦ δικαιοσύνην [para]πάντοτε ἐνδύσονται“· οὗτος οὖν ὁ ἀρχιερεὺς ἄγαν ἠγαλλιάσατο· ψαλτήριον ἐκεῖνος ἐσκεύασε τὸ πάρος, συγγράμματα δὲ οὗτος θεόπνευστα νῦν· σοφὸς ἐν τοῖς πάλαι ὁ Σολομὼν ἀνεδείχθη, [para]οὗτος δὲ νῦν ὤφθη ὑπερβαλλόντως [para]κεκοσμημένος σοφίᾳ θείᾳ· ὁ Ἐζεκίας δάκρυσι θάνατον ἐτροπώσατο καὶ αὖθις ἐπεβίωσε κελεύσει τοῦ θεοῦ ἡμων, οὗτος δὲ τῇ προσευχῇ τὴν ἀκήρατον ζωὴν ηὕρατο εὐσεβῶς [para]καὶ ἀεὶ ἐν οὐρανοῖς συνδιάγει Χριστῷ· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 17.63 Ὁ Θεσβίτης Ἠλίας ὀργῇ δικαίᾳ [para]ἱερεῖς ἀνιέρους ξίφει ἀνεῖλεν· [para]τούτῳ ἁμιλλώμενος ὁ τῆς πίστεως ζηλωτὴς τῇ μαχαίρᾳ ἀπέκτεινε τῇ τῆς διδασκαλίας τούς τε αἱρεσιάρχας καὶ τὰς αὐτῶν αἱρέσεις ἔπρισε σαφῶς· ἐκείνου τῇ εὐχῇ κατῆλθε πῦρ οὐρανόθεν, [para]τῇ τούτου πνεῦμα τὸ ἐν πυρίναις [para]προφθάσαν γλώσσαις τοὺς ἀποστόλους· ἐκεῖ τὸ πῦρ κατέφαγε τὸ θῦμα καὶ τὰ ὕδατα, ἐνταῦθα σῶμα ἔδειξε θεοῦ καὶ αἷμα ἅγιον· ἐκεῖνος ἤρθη ποτὲ ἐπὶ ἅρματος πυρὸς ὡς εἰς τὸν οὐρανόν, [para]οὗτος ἐν τῷ οὐρανῷ συνδιάγει Χριστῷ· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 18.63 Ὑψηλῶν συγγραμμάτων ὑπάρχει πίναξ [para]προφητῶν, ἀποστόλων καὶ διδασκάλων οὗτος ὁ ἀείμνηστος· ἐν αὐτῷ γὰρ εὑρίσκομεν πάντων τὰ κατορθώματα, τὰς ἀρετὰς ἑκάστου, τὴν πρὸς θεὸν ἀγάπην, τὸν ζῆλον, τὴν ἐλπίδα, τὸν δρόμον αὐτῶν· τὸν γὰρ Ἠσαΐαν, Ἱερεμίαν, Δανιὴλ [para]Ἰεζεκιήλ τε καὶ τοὺς ὀφθέντας [para]ἐν τῇ παμφλόγῳ ἀνθρακοβάτας, Ἀμβακοὺμ τὸν μετάρσιον καὶ Ἰωνᾶν τὸν κήρυκα·

book 18.63 ἐν τούτῳ ὁ βουλόμενος γνωρίζει ὄντως ἅπαντας· ὥσπερ γὰρ τὴν Νινευῆν ὁ προφήτης πρότερον, οὗτος ἔσωσε νῦν [para]πάντας τοὺς Χριστιανοὺς καὶ Κωνσταντινούπολιν· |:τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς ὡς τὰ θεῖα σοφός.:|

book 1.64

Ὁ μαθητὴς καὶ φίλος σου καὶ μιμητὴς τοῦ πάθους σου [para]τῇ οἰκουμένῃ θεόν σε ἐκήρυξεν, ὁ θεηγόρος Φίλιππος· ταῖς αὐτοῦ ἱκεσίαις ἐξ ἐχθρῶν παρανόμων [para]τὴν ἐκκλησίαν σου καὶ πᾶσαν πόλιν διὰ τῆς θεοτόκου συντήρησον, |:πολυέλεε.:|

book 1.64 Ῥεῖθρα λόγου παράσχου μοι, κύριε, ὁ ὑδάτων τὴν φύσιν δειμάμενος· τὴν καρδίαν μου στήριξον, εὔσπλαγχνε, ὁ τὴν γῆν στερεώσας τῷ λόγῳ σου, καὶ φώτισόν μου τὴν διάνοιαν, ὁ τὸ φῶς ὡς χιτῶνα ἀναβαλλόμενος, ἵνα λέγων καὶ ψάλλων τὰ πρέποντα ἐπαξίως τιμήσω τὸν σὸν μαθητήν, |:πολυέλεε.:|

book 2.64 Ὡς πολύ σου τὸ πλῆθος τῆς χάριτος, ἀριθμὸς δὲ οὐκ ἔστι τῆς δόξης σου· ἐκ μὴ ὄντων ἡμᾶς γαρ ἐποίησας καὶ χαρίσμασι σοῦ κατεπλούτησας· αὐτός, φιλάνθρωπε, νῦν δώρησαι τῇ βεβήλῳ καρδίᾳ μου αἴνεσιν ⟦ὁ⟧ ὑπ’ ἀγγέλων ἀπαύστως ὑμνούμενος, ἵνα ψάλλων τιμήσω τὸν σὸν μαθητήν, |:πολυέλεε.:|

book 3.64 Μεθ’ ἡμῶν, ὁ θεὸς ὁ ἀόρατος, ἐπ’ ἐσχάτων τῶν χρόνων ἐσκήνωσας ἐκ παρθένου λαβὼν τὸ ἡμέτερον, ἵνα δώσῃς ἡμῖν τὸ ἀλλότριον· καὶ πένης ὤφθης ὁ πλούσιος μεταδοῦναι ἡμῖν τὸν ἀμέτρητον κα͜ὶ ἀ͜κατάληπτον πλοῦτον σου, δέσποτα, διὰ τοῦτο καὶ πένητας σχὼν μαθητάς, |:πολυέλεε.:|

book 4.64 Ἀναρίθμητα τὰ μεγαλεῖα σου καὶ ἀνέκφραστα σοῦ τὰ τεράστια· ὁ μετρήσας ἀστέρων τὴν σύστασιν μετρητὸς κατὰ σάρκα ἐπέφανας, ἐκ Ναζαρὲτ δὲ γεγέννησαι καὶ τῷ Καίσαρος δόγματι ἐπειθάρχησας, ⟦καὶ⟧ βασιλεὺς τῶν αἰώνων καὶ κύριος· μαθητῶν δὲ χορὸν συνεστήσω, Χριστὲ |:πολυέλεε.:|

book 5.64 Νῦν ἡ πόλις σκιρτάτω χορεύουσα ἡ Ἀνδρέου καὶ Πέτρου τοῦ μάκαρος· ἐξ αὐτῆς γὰρ φωστὴρ ἡμῖν ἔφανεν ἀγλαΐζων τὴν πᾶσαν ὑφήλιον Φίλιππος ὁ ἱερώτατος, ὃν ὁ Λόγος φησὶ καὶ θεός ἡμων· „Δεῦρο καὶ ἀκολούθει ὀπίσω μου καὶ τὰ ἔθνη ὁδήγησον μοῦ τοῦ βοᾶν· |:„Πολυέλεε‘.“:|

book 6.64 Οὗτος ὁ μαθητὴς ὁ θεόκλητος Φίλιππος τῆς τριάδος ὁ μύσταρχος εὐθὺς μέτα τὴν κλῆσιν ἐκήρυττεν τὸν υἱὸν τοῦ θεοῦ σαρκωθέντα· φησὶ τοιαῦτα δὲ πρὸς Ναθαναήλ· „Ὃν Μωσῆς ἐν τῷ νόμῳ προέγραψε κα͜ὶ ο͜ἱ προφῆται ἐκήρυξαν, εὕραμεν, τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρὲτ |:πολυέλεον.“:|

book 7.64 Ὑποπτεύονται τὰ ταπεινότερα τῆς Χριστοῦ τοῦ Θεοῦ ἥμων φύσεως· εὐτελοῦς γὰρ ἐκ πόλεως ἔρχεται πενιχροὺς ἔχων καὶ τοὺς γεννήτορας· πρὸς ἃ ὁρῶντες ἐδυσχέραινον· ὑπὲρ τὸν Ναθαναὴλ γὰρ πείθονται ὡς ἀδήλων ἐπόπτην προβλέποντες καὶ υἱὸν αὐτὸν κηρύττουσι θεοῦ |:πολυέλεον.:|

book 8.64 Οὐκ ἐκάλυπτε γνόφος τὸν ἥλιον οὐδὲ νὺξ τὴν ἡμέραν ἐφαύλιζεν· ἐξ αὐτῶν γὰρ τῶν ἔργων ἐδείκνυεν, ὅτι οὗτος ὑπῆρχεν ὁ ἄναρχος υἱὸς καὶ λόγος τοῦ συνανάρχου πατρός· καὶ γὰρ ὅτε „Ὑπάγω“ προέλεγε „πρὸς πατέρα“, ἠρώτα τὸν Φίλιππον ἀληθέστερον θέλων ἰδεῖν καὶ μαθεῖν, |:πολυέλεος.:|

book 9.64 „Ψυχαγώγησον, Λόγε, τοὺς φίλους σου· λέγεις γὰρ πρὸς πατέρα πορεύεσθαι· τοῦτον δεῖξον ἡμῖν καὶ ἀρκεῖ ἡμιν,“ ὁ πιστώτατος Φίλιππος ἔλεξε πρὸς τὸν διδάσκαλον καὶ κύριον· πρὸς ὃν ἔφη „Ἀκμὴν ἀγνοεῖς αὐτόν;“ τὸ ⟦τοῦ⟧ πατρὸς ὁμοούσιον γέννημα· καὶ γὰρ ἦν χαρακτὴρ τοῦ πατρὸς ὁ υἱὸς |:πολυέλεος.:|

book 10.64 Ἀναπτύξας τὰ χείλη ὁ κύριος πρὸς τὸν Φίλιππον ἔφη τὰ ἴδια· „Ἐγὼ καὶ ὁ πατὴρ ὁμοούσιοι καὶ συνάναρχοι καὶ συναΐδιοι, ὁμοβασίλειοι κα͜ὶ ὁ͜μόδοξοι· καὶ ἐν θρόνῳ συγκάθημαι τῷ γεννήτορι καὶ μεθ’ ὑμῶν ἀναστρέφομαι ἄνθρωπος· ἀπερίγραπτος ὢν περιγράφομαι νῦν |:πολυέλεος.“:|

book 11.64 „Λόγος ὢν τοῦ πατρὸς ἐνηνθρώπησα“, πρὸς τὸν Φίλιππον πάλιν ὁ κύριος· „οὐκ ἀπέστην αὐτοῦ τῆς θεότητος, ἀλλὰ ⟦καὶ⟧ σὺν τῷ πατρὶ ἀδιαίρετος καὶ μεθ’ ὑμῶν ὁμοούσιος· ταῦτα φρόνει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίδασκε, Φίλιππε· τὰ τοῦ πατρὸς πάντα ἐμά ἐστι· μίαν ἄναρχον ζήτει θεᾶσθαι ἀρχήν, |:πολυέλεον.“:|

book 12.64 Μυστιπόλος ἐδείχθη ὁ Φίλιππος ἐκ θεοῦ διδαχθεὶς τὰ ἀπόρρητα· διὰ τοῦτο σταυρούμενον ἔβλεπε καὶ θεὸν ἀληθῆ ἐπεγίνωσκε καὶ μετὰ τὴν ἀνάστασιν τοῦ υἱοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν τῇ οἰκουμένῃ σαφῶς ἐκήρυξεν ὁμοούσιον τὴν τριάδα θεόν τε καὶ ἀληθῆ |:πολυέλεον.:|

book 13.64 Οὗτος ὁ μαθητὴς ὁ περίδοξος Φίλιππος, ἡ τιμὴ πάσης πόλεως, Ἱεραπολιτῶν τὸ ἑδραίωμα, ἐγκαλλώπισμα καὶ ἀγαλλίαμα, θεογνωσίᾳ ἐλάμπρυνε τὴν ὑφήλιον πᾶσαν καὶ πρόκειται μαρμαρυγὰς ἰαμάτων δωρούμενος ἐκ τιμίων λειψάνων αὐτοῦ καὶ σεπτῶν |:πολυέλεος.:|

book 14.64 Σοῦ, τριάς, προσκυνῶ τὴν θεότητα, σοῦ δοξάζω τὸ κράτος τὸ ἄτμητον, ἡ γὰρ σὴ βασιλεία ἀμέριστος, τοῦ πατρός, τοῦ υἱοῦ καὶ τοῦ πνεύματος· αὐτὴ καὶ νῦν ἐξαπόστειλον τὸ τρισσὸν καὶ ἀπρόσιτον φῶς καὶ κλέος καὶ τὸ ἔλεος, ἅγιε κύριε, ἐπὶ πᾶσι τοῖς ψάλλουσί σοι πιστῶς, |:πολυέλεε.:|

book 1.65 Ἐκδαπανήσας τὴν πλάνην τῇ πίστει σου τὰ τῶν ἀγώνων ἐτρύφησας ἔπαθλα καὶ ἐδείχθης ὡς ἀληθῶς Χριστοῦ ἐραστής, τῶν θαυμάτων τὴν χάριν τῷ κόσμῳ δωρούμενος καὶ δαιμόνων τὰ θράση ἀόπλως τροπούμενος, |:ὅθεν ἐδέξω τὸν ἄφθαρτον στέφανον.:|

book 1.65 Τὴν τῶν ἀνθρώπων γενεὰν πᾶσαν Χριστὸς ἁγιάζων [para]σὰρξ γέγονεν ἀτρέπτως καὶ ηὐξήθη ἐν κοιλίᾳ, [para]τεχθεὶς δὲ ἐκ μήτρας ὡς βρέφος ἐσπαργανώθη· καὶ διὰ πάσης ἡλικίας ἦλθεν ὁ ὕψιστος, ἵνα καὶ πρὸ τόκου καὶ μετὰ τόκον [para]πᾶσα ἡλικία χαίρῃ καὶ σκιρτᾷ ἐν Χριστῷ καὶ τύπτῃ τὸν διάβολον. πρῶτος μὲν ἤρξατο ὁ Ἰωάννης [para]κυοφορούμενος καὶ μὴ φαινόμενος σκιρτᾶν καὶ χορεύειν ἐν ἀγαλλιάσει, ὅτι ἑώρα τὸ φῶς ἐν σκότει, καὶ βρέφη καὶ νεώτεροι καὶ γέροντες ἠγωνίζοντο |:ὡς προσδοκῶντες τὸν ἄφθαρτον στέφανον.:|

book 2.65 Ὅθεν ὁρῶν ὁ δυσμενὴς τὰς ἑαυτοῦ παρατάξεις [para]γενναίως ῥηγνυμένας καὶ εἰς ἔδαφος κειμένας [para]ἀεὶ ἐθρηνῴδει καὶ κλαίων ταῦτα ἐβόα· „Ὤρυξα βόθρον καὶ εἰς τοῦτον πρῶτος ἐνέπεσα· κρεῖττον γὰρ ὑπῆρχε μόνον με βλέπειν [para]ἐν τῷ παραδείσῳ ὄντα τῆς τρυφῆς τὸν Ἀδὰμ ἢ πλῆθος ἀναρίθμητον· τότε μὲν ἔχαιρον τοῦτον πλανήσας· [para]ἀλλὰ ὁ πόνος μου καὶ τὸ ἀδίκημα ὑπέστρεψε τάχος ἐπὶ κορυφήν μου·

book 2.65 εἰς ἐμπαιγμὸν γὰρ ἐδόθην πᾶσι· γελῶσι μὲ τὰ νήπια ὡς ἄνανδρον καὶ νικῶσι με |:καὶ στεφανοῦνται τὸν ἄφθαρτον στέφανον.“:|

book 3.65 Ὑπὸ παιδίου διετοῦς πρὸς τοὺς ἀγῶνας καλεῖται [para]ὁ λέγων ὅτι „Θήσω μου τὸν θρόνον ἐπὶ ὕψους“. διετὲς γὰρ βρέφος, καθὼς διδάσκει ἡ βίβλος, ἦν ⟦ὁ⟧ μάρτυς Τρύφων ὅτε ἤρξατο ἀγωνίζεσθαι· οὐδὲ γὰρ ἡ φύσις τῆς ἀληθείας [para]μέτρῳ ἡλικίας χαίρει ἐν ἀνθρώποις ποτὲ ἢ σώματος ἁδρότητι, μόνης δὲ τέρπεται τῆς ἐναρέτου [para]ψυχῆς ἐν σώματι φρονούσης ἅπαντα τὰ τῆς εὐσεβείας καὶ ἐργαζομένης δικαιοσύνην μετὰ ἀνδρείας· τὸ κάλλος γὰρ τοῦ σώματος μαραίνεται· ὡραιότης δε |:ψυχῆς λαμβάνει τὸν ἄφθαρτον στέφανον.:|

book 4.65 Τοῦτον δὲ μᾶλλον ὁ Χριστὸς ὥσπερ τὸν Ἱερεμίαν [para]ἡγίασεν ἐκ μήτρας καὶ ηὐλόγησεν τεχθέντα· [para]ἡ γὰρ μήτηρ τούτου ὡς μισθωτός, οὐχ ὡς μήτηρ, χρόνον ὀλίγον τὸν παῖδα γαλακτοτροφήσασα, ὡς παραλαβοῦσα, οὐχ ὡς τεκοῦσα, [para]τοῦτον ἀπολύει, ἵνα διατρέφῃ αὐτὸν ἡ χάρις ἡ τοῦ πνεύματος· τοῦτο δὲ πρόδηλον ὅτι παιδίον [para]ὑπάρχων ἄωρον εὐθὺς ἐξώρμησε τῆς ἐνεγκαμένης καὶ οὐκ ἐκωλύθη οὐδ’ ἐζητήθη ἐκ τῶν γονέων· ἡ πίστις καὶ ἐλπίς αὐτον ἐξέτρεφεν· ἡ ἀγάπη δε |:θεοῦ λαμβάνει τὸν ἄφθαρτον στέφανον.:|

book 5.65 Ἅπαντας νῦν διεξελθεῖν τοῦ ἀθλητοῦ τοὺς ἀγῶνας, [para]ἂν σπεύσω ἐν τῷ λόγῳ, ἐπιλείψει με ὁ χρόνος· [para]ὅμως ⟦τὰ⟧ πρῶτα εἴπω καὶ τότε τὰ τελευταῖα. τοῦτον ἑώρα ὁ πανοῦργος ὄφις καὶ δόλιος σὺν ἡλικιώταις παίζοντα τότε, [para]ἄνω δὲ τὸ ὄμμα ἔχοντα ἀεὶ πρὸς θεόν, καὶ σπεύσας ἐπιφύεται· τούτου δὲ πρῶτον μὲν κατεψηλάφα [para]σαφῶς τὴν δύναμιν· οὐ γὰρ

ἐτόλμησεν εὐθὺς συμπλακῆναι· ἀλλ’ ἀπὸ μακρόθεν ἑστὼς λαμβάνει τὴν πεῖραν πᾶσαν καὶ τύπτει τὸν ὁμήλικα ὡς ἄθλιον, ὡς οὐκ ἔχοντα |:ἐν προ〈σδοκίᾳ τὸν ἄφθαρτον στέφανον〉.:|

book 6.65 Πρὸς ἑαυτὸν ὁ δολερός· „Ῥᾴδιον ἔστι βαδίζειν,“ [para]φησὶ γάρ, „κατὰ τάξιν πρὸς τὸ σκάμμα τοῦ παιδίου· ἂν ἴδῃ με οὗτος τοῖς ἄλλοις ἐπιφυέντα, πάντως φοβεῖται, ὁ δὲ φόβος ἔλεγχος γίνεται· πλήξας οὖν τὸν ἄλλον νῦν θεωρήσω [para]Τρύφωνος τὴν ὄψιν· γνώσομαι ἐντεῦθεν σαφῶς τῆς γνώμης τὴν στερρότητα· ἐὰν γὰρ φεύξεται ὡς δειλιάσας, [para]καὶ ἐπελεύσομαι καὶ συμπλακήσομαι, πρὶν ἀνδρειωθῆναι, ἵνα περικόψω τὴν προθυμίαν καὶ τὰς δυνάμεις· ἐὰν δὲ κατεπέλθῃ μοι, φυλάξομαι καὶ βουλεύσομαι, |:ἵνα μὴ λάβῃ τὸν ἄφθαρτον στέφανον“.:|

book 7.65 Ἰσχὺν οὖν δείξας κραταιὰν ἐκ τῆς ἰδίας πατρίδος [para]ὁ ἅγιος διώξας τὸν ἐχθρὸν καὶ λυμεῶνα [para]διέτης ὑπάρχων ἐπεξενώθη τοῖς ἄλλοις ἅπαντα τόπον ἁγιάζων, οὗ παρεγένετο, ἔχων ἐξουσίαν κατὰ δαιμόνων, [para]ὥσπερ πολεμίους τούτους τραυματίζων ἀεὶ τοῖς ὅπλοις τοῖς τοῦ πνεύματος· ἔφευγον δαίμονες τοῦτον ὁρῶντες [para]ἢ καὶ ἀκούοντες παραγινόμενον· ἐκ τόπου εἰς τόπον ὑπαναχωροῦντες βουλὴν ποιοῦνται πανοῦργον πάντες, ἵνα δόγμα κινήσωσι καὶ θάνατον ἐπενέγκωσι |:τῷ προσδοκῶντι τὸν ἄφθαρτον στέφανον.:|

book 8.65 Νῖκος λαβὼν κατὰ ἐχθρῶν ὁ ἀθλητὴς ὁ γενναῖος [para]ἐκ τόπων ἀπελαύνων καὶ ἀνθρώπους τοὺς ἀδίκους [para]ἰᾶται πρὸς τούτοις καὶ μαλακίας καὶ νόσους· καὶ εἴ τις θέλει τὰ τοῦ μάρτυρος γνῶναι θαύματα, δύναται μανθάνειν ἀπὸ τῆς βίβλου· [para]πάνυ δὲ ὀλίγων θέλω μνημονεῦσαι ἐγὼ πρὸς ἔπαινον τοῦ μάρτυρος· τύραννοι ἄνομοι τότε Ῥωμαίων [para]κατεκυρίευον καὶ ἐβασίλευον εἰδώλοις ματαίοις ἀεὶ προσκυνοῦντες κωφοῖς, ἀλόγοις καὶ ἀναισθήτοις· τῇ κτίσει μὲν ἐδούλευσαν, τὸν κτίστην δὲ ἀπηρνήσαντο, |:τὸν χορηγοῦντα τὸν ἄφθαρτον στέφανον.:|

book 9.65 Ὁ διωγμὸς κατὰ Χριστοῦ καὶ τῶν αὐτῷ προσκυνούντων [para]ἐκράτει κατὰ πάσης τῆς Ῥωμαίων βασιλείας· ἐχθροὶ μὲν οὖν ταῦτα ἐσκεύαζον τοῖς ἁγίοις, ἀλλὰ ὁ μάρτυς ἐν σοφίᾳ περιεγένετο περιεσφιγμένος, ἐστηριγμένος καὶ ἠσφαλισμένος πίστει πρὸς Χριστὸν τὸν θεὸν τὸν πάντων βασιλεύοντα· ἄρχοντας ἔπεισε σέβειν τὸ δόγμα, [para]καὶ ἐσφραγίσθησαν καὶ ἐφωτίσθησαν μισήσαντες πᾶσαν τὴν τῶν ἀνοήτων καὶ ἀναισθήτων εἰδώλων πλάνην· διὸ καὶ ἐκομίσατο σὺν ἅπασι τοῖς προσήκουσιν |:ἐκ τοῦ σωτῆρος τὸν ἄφθαρτον στέφανον.:|

book 10.65 Ὑπερασπίζων ὡς θεῶν Γοδριανὸς τῶν δαιμόνων, [para]ὁ ἄναξ τῶν Ῥωμαίων, τῆς τούτων πειρᾶται βλάβης· [para]τοιούτοις γὰρ δώροις ἀμείβονται τοὺς ἰδίους· καὶ γάρ τις δαίμων προσκυνούμενος ἐκ τοῦ ἄνακτος ἀντ’ εὐεργεσίας καὶ τῆς θυσίας [para]τὴν τοῦ βασιλέως τύπτει θυγατέρα σφοδρῶς βασάνοις καὶ κολάσεσιν· αὕτη μὲν ἔμενεν ἀντὶ παστάδων [para]δεινῶς ἀφρίζουσα καὶ καταπίπτουσα, ἀντὶ δὲ μνηστῆρος τῷ ὀλετηρίῳ προσδεδεμένη ἐχθρῷ ἀσπόνδῳ· σπουδαίως οὖν ἐζήτητο ὁ ἅγιος, ἵν’ ἰάσηται |:καὶ προξενήσῃ τὸν ἄφθαρτον στέφανον.:|

book 11.65 Ῥύσεως χάριν ἐν σπουδῇ δόγματα τοῦ βασιλέως, [para]προστάγματα ἐπάρχων καὶ ὑπάτων κατεπέμφθη [para]κατὰ πᾶσαν πόλιν καὶ χώραν τῆς πολιτείας, ἀνερευνᾶσθαι τὸν ζητούμενον καὶ ἐκπέμπεσθαι ἔπι τὴν Ῥωμαίων πόλιν συντόμως· [para]ὅθεν καὶ ἡ χάρις ἔδειξε σπουδαίως αὐτόν, ἐν Ῥώμῃ δὲ ἐξέπεμψεν· ὅτε οὖν ἅπαντα ταῦτα ἐπράχθη, [para]ἡ παῖς ὑγίανεν, αὐτὸς δ’ ὑπέστρεψε καὶ πάλιν εὐθέως ἐπὶ τὴν Φρυγίαν·

book 11.65 ὁ διωγμὸς δὲ οὐκ ἐκινεῖτο· ὁ ἄναξ γὰρ ᾐσχύνετο τὸν δίκαιον καὶ ἐτίμησεν |:ὡς προσδοκῶντα τὸν ἄφθαρτον στέφανον.:|

book 12.65 Ὡς δὲ ἐξῆλθεν ὁ τερπνὸς ἐκ τῆς ἰδίας πατρίδος, [para]ἐτῶν ὑπῆρχε δύο ὁ γενναῖος, καθὼς εἶπον· [para]δεκαπέντε ἔτη θαυματουργῶν διετέλει· ὅτε δὲ ἦλθεν ἐν τῇ Ῥώμῃ ἐκ τοῦ θεσπίσματος, δέκα καὶ ἑπτά μεν ἔφερε χρόνους, [para]ἄλλα ὑποστρέψας ἦν προσκαρτερῶν τῷ Χριστῷ εὐχαῖς καὶ ταῖς δεήσεσι. δέχεται Φίλιππος τὴν βασιλείαν [para]τοῦ πρώτου ἄνακτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποβιώσαντος· καὶ οὗτος δὲ πάλιν μετὰ δεκαπέντε ἀπῆλθε χρόνους ἐκ τῶν πραγμάτων· παρέλαβέ δε Δέκιος τὰ πράγματα καὶ ἐπέθετο |:τοῖς προσδοκῶσι τὸν ἄφθαρτον στέφανον.:|

book 13.65 Μετ' ἀπειλῆς οὖν φοβερᾶς ἀνανεοῦται τὸ δόγμα [para]ὑπὸ τοῦ βασιλέως ἐκπεμφθὲν τῇ οἰκουμένῃ· [para]αὐτὸς μὲν ὁ ἄναξ ὁ ἀσεβὴς ἐν τῇ Ῥώμῃ πλείστας ἐποίει σπονδὰς κατὰ τὸ Καπετώλιον· πᾶσαι δὲ αἱ πόλεις ἅμα καὶ χῶραι [para]πάσης ἐπληροῦντο κνίσης καὶ καπνοῦ θυσιῶν, καὶ πάνδημος ἀπώλεια τότε ἦν, θόρυβος τῶν βακχευμάτων· [para]ἐκεῖ σκιρτήματα αἰσχρά τε ᾄσματα καὶ ἡ ματαιότης ἐκεῖ τῶν κροτάλων ἀρρένων ἅμα καὶ τῶν θηλείων· τιμῶντες γὰρ τοὺς δαίμονας ἑώρταζον ἀποκτέννοντες |:τοὺς προσδοκῶντας τὸν ἄφθαρτον στέφανον.:|

book 14.65 Ἀλλὰ ἰδόντες οἱ πιστοὶ τῆς ἀσεβείας τὴν πλάνην [para]ἀπέφευγον τὰς πόλεις καὶ κατῴκουν ἐν ἐρήμοις· [para]ἐθνάρχαι δὲ τούτους καὶ ἄρχοντες ἀνηρεύνων καὶ πικροτάτοις βασανιστηρίοις ὑπέβαλλον· ἐν μὲν οὖν τῇ Ῥώμῃ ἀντὶ ὑδάτων [para]αἵματος πληροῦται ἐκ τῶν ἀθλοφόρων Χριστοῦ Τιβέριος, ὡς γέγραπται· κίνδυνοι, βάσανοι ἁπανταχόσε· οἱ μὲν ἐξέοντο, οἱ δὲ ἐκαίοντο, καὶ ἄλλοι θηρίοις καὶ ξίφεσιν ἄλλοι, καὶ ἦν ποικίλων βασάνων τρόπος· καὶ Τρύφων δὲ ὁ ἅγιος συνείχετο καὶ ἐδέδετο |:ὡς προσδοκήσας τὸν ἄφθαρτον στέφανον.:|

book 15.65 Νήφων ὁ δέσμιος Χριστοῦ ἐν τῇ Νικαίᾳ ἐπέστη [para]καὶ ἔστη πρὸ τοῦ θρόνου Ἀκυλίου τοῦ ἐπάρχου [para]καὶ τῶν δορυφόρων τὸν φόβον οὐ κατεπλάγη· ὁ δικαστής οὐν τοῦτον πότε μὲν ἐκολάκευεν, πάλιν δὲ ἠπείλει πῦρ καὶ βασάνους· [para]ὅθεν μὴ πεισθέντι κόλασιν προσφέρει φρικτήν, ποικίλην καὶ διάφορον· βλέπων δὲ ἔχοντα εὔτονον γνώμην [para]καὶ ὑποφέροντα ἑκάστην βάσανον ἠρώτα θαυμάζων, τί ἄρα ἐλπίζει ὑπὲρ τῶν πόνων ὁ ἀθλοφόρος, ἢ τίνα μετὰ θάνατον κομίσεται ἀνταπόδοσιν |: 〈ὡς προσδοκήσας τὸν ἄφθαρτον στέφανον;〉 :|

book 16.65 Ὁ δικαστής οὐν ἐν σπουδῇ ἔλεγεν τότε πρὸς τοῦτον· [para]„Τὴν φρόνησίν σου οἶδα· οἴκτειρον τὴν ἡλικίαν· [para]διὸ συμβουλεύω, ἵνα προσέλθῃς καὶ θύσῃς τοῖς ἀθανάτοις καὶ δουλεύσῃς τῷ αὐτοκράτορι· ἐὰν δὲ οὐ βούλῃ, ὄμοσον μόνον [para]Δία τὸν τοῦ Κρόνου, ἵνα τιμηθεὶς παρ' ἡμῶν κερδάνῃς καὶ τὸν θάνατον· ἐὰν δὲ ἄτοπον κρίνῃς καὶ τοῦτο, [para]ἐλθέ, προσκύνησον, σπονδὰς προσάγαγε τῇ τοῦ βασιλέως εἰκόνι ⟦τῇ⟧ λαΐνῃ·

book 16.65 ἐὰν γὰρ ταῦτα μὴ σπεύσῃς πρᾶξαι, μετὰ τὸ τιμωρήσασθαι τῷ ξίφει σε παραδίδωμι |:τὸν προσδοκῶντα τὸν ἄφθαρτον στέφανον.:|

book 17.65 Ὑγιαινόντων λογισμῶν ἔστι τὸ διανοεῖσθαι [para]τὰ κρείττῳ ἐν τῷ βίῳ καὶ λογίζεσθαι τὸ δέον· ἐνθυμήθητί οὐν, ὅτι Χριστός, ὅνπερ σέβῃ, οὐκ ἠδυνήθη ἐξελέσθαι σε, ὥσπερ ἤλπισας, ἀπὸ τῶν χειρῶν μου ἢ τῶν βασάνων· [para]ἐὰν γὰρ ὑπῆρχεν οὗτος, ὡσπὲρ λέγεις, θεός, ἠδύνατό σε ῥύσασθαι· δεῦρο οὖν, ἄρνησαι τοῦτον σπουδαίως· [para]οὐδέ γαρ δύναται οὔτε λυτρώσασθαι οὔτε παρασχεῖν σοι οὐδὲν ἐπαξίως ὑπὲρ τῶν πόνων, ὧν ὑπομένεις· μηδεὶς οὖν ἀπατήσῃ σε· οὐκ ἔχει γαρ οὐδὲ δίδωσιν |:τοῖς προσδοκῶσι τὸν ἄφθαρτον στέφανον.“:|

book 1.66 Τῇ δυνάμει τοῦ σταυροῦ ἀγωνισάμενος καλῶς [para]τὸν ἀντίπαλον ἐχθρὸν 〈ἐ〉 κατεδάφησας στερρῶς, [para]στεφανηφόρε Γεώργιε, χριστομάρτυς· [para]ὅθεν καὶ τὴν σὴν ἐπιτελοῦντες ⟦σεπτῶς⟧ μνήμην οἱ πιστοὶ ἁγιαζόμεθα ⟦τῇ⟧ ἐνεργείᾳ καὶ χάριτι ⟦τοῦ⟧ πνεύματος τοῦ παναγίου πρεσβείαις σου |:διδόντες δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 1.66 Τὴν ἀρετὴν τὴν ἔνθεον ἀεὶ τῶν μαρτύρων ἐν μνήμῃ προσφέροντες [para]πιστῶς εὐγνωμονοῦτες δεικνύμεθα· διὸ μνησθέντες πρότερον τῆς εὐκαμάτου συλλογῆς τῶν ἁγίων ἁπάντων ἐξείπωμεν αὖθις σαφῶς τὰς ἀριστείας ἑνός αὐτων, παναγίου τοῦ Γεωργίου [para]φημὶ τοῦ στερεοῦ, |:διδόντες δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 2.66 Ὅλα δὲ τίς τὰ ἆθλα τοῦ ἀνδρὸς τοῦ γενναίου εἰπεῖν πῶς δυνήσεται; [para]καὶ γὰρ πάνυ προθύμως ὑπήνεγκε πολυποικίλα βάσανα θαυματουργῶν, τὴν τοῦ Χριστοῦ δωρεὰν διανέμων·

καὶ γνώμας ἀθέων ἰάσατο φωτίσας τοῦ γνῶναι αὐτοὺς τὸν πλάστην, καὶ πάντες πίστει [para]ἐνευροῦντο πολλῇ |:διδόντες δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 3.66 Ὕπνος δεινὸς συνεῖχε τοὺς πολλοὺς τῶν ἀνθρώπων κοιμίζων τὸ φρόνημα, [para]θεοῦ βλέπειν κωλύων ἀπαύγασμα· ἐν βίβλῳ ταῦτα ἔγραψε θεοφιλίᾳ κινηθεὶς ὁ σοφὸς Πασικράτης οἰκέτης τυγχάνων πιστὸς τοῦ ἀθλοφόρου· αὐτός οὐν ἡμᾶς διδάξει καλῶς ἐκ ταύτης, [para]ἵνα πάντες σαφῶς |:διδῶμεν δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 4.66 Τίθεται δὲ τὸ πρόσταγμα, φησίν, τοὺς πιστοὺς τιμωρίαις αἰκίζεσθαι· [para]ἐμώλυνε διδῶν τὰ ἐμφέροντα καθὼς 〈τὰσ〉 πόλεις ἴθυνεν ὁ ἄναξ Διοκλητιανὸς τῆς εἰδωλολατρίας· καὶ Ἕλληνες πάντες ἐν τούτοις ὑψαυχοῦσι παντὶ δὲ 〈τρόπῳ〉 ἐσκόπουν τοῦ παγιδεῦσαι [para]τοὺς ὄντας εὐσεβεῖς, |:διδόντας δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 5.66 Ἄνθρωπος δὲ Γερόντιος, φησί, τῆς συγκλήτου ὑπάρχων τοῦ ἄνακτος [para]πλευρὰν ὄντως φιλόθεον ἔλαβε ζωὴν αὐτῷ ἐμπνέουσαν, Πολυχρονίαν λέγω δή, ἥνπερ εἶχε γυναῖκα· ἐκ ταύτης γὰρ τίκτει μητρὸς ἔχων τὰς φρένας υἱὸν ἰητῆρα ἔχων θεοστυγίας, [para]ὅθεν ἔγνω βοᾶν· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων“.:|

book 6.66 Πάνυ μὲν οὖν ὑπῆρχεν ὁ τερπνὸς εὐγενὴς καὶ στρατείᾳ διέπρεπεν [para]⟦ἐν⟧νουμέρῳ ἀνικήτῳ, ὡς γέγραπται· ἐν ᾧ πολλὰ ἐπλήρωσε καὶ τριβουνᾶτα, ὡς φησί, καὶ προέκοψε κόμης, [para]ἡγεῖτο δὲ πάντα 〈αὐτὰ〉 σκύβαλα εἶναι, ἱνὰ Χριστὸν κερδίσῃ ⟦καὶ⟧ καθάπερ Παῦλος· |:σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 7.66 Ἔτι ὁρῶν ὁ νέος αὐξηθεὶς τὸν γονέα τοῖς δαίμοσι θύοντα [para]φησί· „⟦Πάτερ,⟧ μάθε ⟦θύειν⟧ θυσίαν ἀναίμακτον· λευκὴ ⟦γὰρ⟧ ἐστὶν ἡ χώρα σου· ὁ θερισμὸς πέλει ἐγγύς· μετανόησον, πάτερ· ἐκκλίνει γὰρ λεῖπον τὸ φέγγος τῆς ἡμέρας· μὴ μείνῃς οὐν, ἕως ὅτε ἑσπέρα ἔλθῃ· [para]δεῦρο, ὅπου ἐσμὲν |:διδόντες δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 8.66 Ἴσχυσε δὲ τοῖς ῥήμασιν αὐτοῦ τὸν πατέρα σοφίσαι τὸν ἴδιον [para]ὁ παῖς ἔχων τὸν κύριον σύνεργον καὶ τὴν μητέρα σύμβουλον· παρὰ θεοῦ δὲ προσδεχθεὶς καὶ λαβὼν τὴν σφραγῖδα μετά τινα χρόνον ὁ γέρων ἀνεπαύθη τυχὼν ἀοιδίμου δόξης ἐπουρανίου, [para]ἔνθα πάντες ⟦οἱ⟧ πιστοὶ |:διδοῦσι δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 9.66 Νίκην λαβὼν ἐν τούτῳ ὁ πιστὸς καὶ κηδεύσας, ὃν πίστει ἀνέστησεν, [para]εὐθὺς πάντα, ἃ εἶχε, διένειμεν εἰπών· „Γυμνὸς γεγέννημαι, γυμνὸς καὶ θνήσκω τῷ Χριστῷ, ἵν’ αὐτός με ἐνδύσῃ· οὐδεὶς ἐν σταδίῳ ἐνδέδυται καὶ τρέχει, κἀγὼ δὲ αὐτὸν μιμοῦμαι καὶ οὕτως τρέχω· [para]ὡς ὁ Παῦλος φησίν· |:σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 10.66 Οὕτως εἰπὼν ὁ μέγας ἀθλητὴς τῶν αὐτῶν ἀλγεινῶν ὑπεισέρχεται· [para]καθὼς βέλος ἐκ τόξου ἀφίεται, καὶ χοῦν ποιεῖ τὰ ἄψυχα καταπατῶν τὰ ξόανα καὶ πυρὶ καταφλέγων· καὶ ἔμφοβοι ἦλθον τινὲς τῶν ἱερέων δεόμενοι ⟦τοῦ⟧ βασιλέως καὶ 〈ἐκ〉 βοῶντες· [para]„Πῶς τολμῶσι τινὲς |:διδόντες δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων;“:|

book 11.66 Ὕψωσε δὲ φωνὴν ὁ βασιλεὺς καὶ φησίν· „Τὸν τοιοῦτον ἀγάγετε, [para]ὃς νῦν δόγμα ἐμὸν 〈παρ〉 εσάλευσε·“ καὶ δὴ εὐθὺς προτίθενται αἱ πονηραὶ κατασκευαὶ τῶν ποικίλων βασάνων ἐν τῇ Διὸς πόλει· 〈τοῦ〉 ὄχλου δὲ ὁρῶντος τὸ βῆμα ὁ μάρτυς φθάσας ἐμπρόσθεν ἔστη [para]τοῦ τυράννου βοῶν· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 12.66 „Ῥῆμα ψευδὲς μὴ εἴπῃς μοι,“ φησὶ πρὸς τὸν μάρτυρα ὁ ὑπερήφανος, „καὶ γὰρ οἶδα συγγνῶναι ⟦τοῖσ⟧ πιστεύουσιν· ἀφόβως πάντα λέξον μοι, καὶ τὸ πλημμέλημα ἐγὼ συγχωρῶ σοι ὡς νέῳ· λοιπὸν γὰρ 〈σὺ〉 θύων αὐτὸς ἐξιλεώσεις, οὓς ἴδιος κατέπτυσας· χερσὶν ὑβρίσας [para]ἀπεφθέγξω βοῶν· |:‚Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων‘.“:|

book 13.66

Eulogikon public reading copy · View original HTML at eulogikon.org

„Ὢ δυσσεβῆ,“ φησὶν ὁ εὐσεβής, „τί ἐμοὶ δολερὰ κολακεύματα, [para]διὸ τοῦτο φρονήσας ἐτέλεσα; ἀεὶ γὰρ οὕτως εὔχομαι ὑπὲρ Χριστοῦ ἀποθανεῖν τοῦ θεοῦ τῶν ἁπάντων· αὐτὸν 〈γὰρ〉 κατεῖδον τὰ ἔνδον τῆς ψυχῆς μου· τὰ ζῷα διεσείσθη πάντα 〈τὰ〉 τοῦ ναοῦ σου, [para]ὅτ' ἐβόων ἐγώ· |:‚Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων'.“:|

book 14.66 Μαίνεται δὲ ὁ ἄφρων κατ' αὐτοῦ καὶ εὐθέως κελεύει ἀνείκαστα [para]αὐτῷ τελεῖσθαι καὶ ξέεσθαι αὐτὸν καὶ κεντροῦσθαι τοὺς πόδας καὶ πάλιν σιδήρῳ τυφθῆναι τὸν αὐχένα καὶ ξίφεσιν αὐτὸν ἐν τῷ τροχῷ διασπασθῆναι καὶ θλασθῆναι προστάττει· ἀλλ' ἔστη [para]οὕτως βοῶν· |: „Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 15.66 Ἀλλὰ πολλὰς βασάνους καὶ φρικτὰς ἐπιφέρων αὐτῷ μηχανήματα, [para]πυράν, ἥλους, ξυστῆρας καὶ μόλυβδον, εἰς ξύλον πάλιν κρέμασθαι καὶ φλογερὰν τῇ κεφαλῇ περιθεῖναι κασσίδαν, ἐν λέβητι πάλιν βληθῆναι ὡς καμίνῳ καὶ σύρεσθαι κατὰ γαῖαν ἐπὶ τριβόλων· [para]ἀλλ' ἐσώθη βοῶν· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 16.66 Νέος μὲν ἦν, πρεσβύτου δὲ τὸν νοῦν ὁ καλὸς στρατιώτης ἐκέκτητο· [para]διὸ καὶ τὸν διάβολον ᾔσχυνε· καὶ γὰρ τὰ βέλη ἔπεμψεν ὁ μιαρώτατος ἐχθρὸς καὶ οὐκ ἔτρωσε τοῦτον· προσρήξας τῇ πέτρᾳ τῇ ῥύμῃ τῶν κυμάτων ἐσάλευσεν οὐδὲ ὅλως, ἀλλά γε μᾶλλον [para]διήγειρε βοᾶν· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 17.66 Ὅτε λοιπὸν τῇ πίστει τοῦ ἀνδρὸς τῶν βασάνων ὁ ἄναξ ἠπόρησε, [para]τινὶ 〈τῶν〉 τῆς συγκλήτου ἐπείθετο αὐτῷ τοιαῦτα λέγοντι ὅτι· „Πρὸς πάντας ἰσχυρὸς τοὺς θεοῦς ἡμῶν ἔστιν, καὶ ἅπαν ἐκείνων κατέβαλε τὸ κῦρος· ἡ χήρα αὐτὸν πεισάτω ἡ πενομένη [para]τοῦ μηκέτι βοᾶν· |:‚Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.'“:|

book 18.66 Ὑψόθεν γὰρ ὁ κύριος ἡμῶν τοῖς νικῶσι παρέχει τὰ ἔπαθλα, [para]καθ' ὃ μόνος ὑπάρχει φιλάνθρωπος· διὸ ὁ μάρτυς δείκνυται ὡς ἀριστεύσας ἀνδρικῶς τὰ θεόσδοτα δῶρα· καὶ δὴ εἰς τὸν οἶκον ἐλθὼν τῆς λιμωττούσης ἀέναον εὐθηνίαν αὐτῇ παρέσχεν, [para]ὡς Ἠλίας ποτέ, |:διδόντες δόξαν θεῷ τῷ κτίστῃ καὶ σωτῆρι ὅλων.:|

book 19.66 Πλοῦτον αὐτῇ τῷ τέκνῳ δὲ αὐτῆς παρασχὼν παρὰ πάντα τὴν ἴασιν [para]πιστοὺς τοὺς ἀμφοτέρους ἐποίησε· καὶ βοῦν ⟦γὰρ⟧ θανέντα ἤγειρε γονυπετούσης γυναικὸς καὶ κλαυθμῷ ἱκτευούσης· τοιαῦτα δὲ λέγει ὁ νέος ἐν καρδίᾳ· „Ὢ ποίαν τιμὴν προσάξω τῷ συνεργοῦντι, [para]εἰ μὴ μόνον βοᾶν· |:‚Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων';“:|

book 20.66 Ὅμως ὁδὸν ἐφευρὼν ἀρετῆς τῷ κυρίῳ ἀρέσκουσαν 〈–·〉 [para]„Μᾶλλον πιστοὺς ἀσεβοῦντας ἐργασώμεθα· θυσίαν τούτοις δίδωμι ὡς ὑπὲρ πάντων 〈–〉 〈〉 ἀμώμους ποιήσω·“ διὸ τεθνηκότας ἐγείρας ἐκ μνημάτων σφραγῖδα αὐτοῖς παρέσχεν, ὅθεν συγγνῶμεν, [para]ἵνα γνῶσι βοᾶν· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 21.66 Ἰσχὺν ζωῆς διδάσκει ὁ πιστὸς Ἀθανάσιον πρώην πλανώμενον [para]δεινὰς τούτῳ μαγείας προστάξαντα, μεθ' ὃν καὶ Ἀνατόλιον τὸν στρατηλάτην μετὰ τῆς ὑπ' αὐτὸν φαμιλίας· εὐθέως 〈δὲ〉 οὗτοι τῷ ξίφει τελειοῦνται λαβόντες 〈αὐ〉τὸ βραβεῖον ἐκ τοῦ ὑψίστου [para]ὡς βοῶντες αὐτῷ· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 22.66 Ἣν βουληθεὶς ὁ ἄφρων βασιλεὺς δελεάσαι αὐτὸν εἰς τὸν θάλαμον, [para]ἴσως ὅτι καὶ θύειν ἐπήλπιζεν· αὐτὸς δὲ μᾶλλον εἵλετο τὴν βασιλίδα ἀναλαβεῖν Ἀλεξάνδρειαν πίστει· καὶ γέγονε μάρτυς τμηθεῖσα τὸν αὐχένα· αὐτὸς δὲ ἐλθὼν σὺν ὄχλῳ πλείστῳ τοῦ θῦσαι [para]ἔστρεψε τὰ γλυπτὰ |:κραυγάζων· ⟦Σοὶ πρέπει⟧ δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.:|

book 23.66 Μέγα ἰδὼν τὸ τόλμημα αὐτοῦ, δεδωκὼς αὐτῷ ⟦ὁ⟧ ἄναξ ἀπόφασιν, ὁρᾷ αὐτοῦ ⟦τὴν⟧ μητέρα σκιρτήσασαν, καὶ πρὸ αὐτοῦ ἀπέκτεινεν· ὁ δὲ γενναῖος ἀθλητὴς ἐπευξάμενος πᾶσι τῷ ἄφρονι

μόνῳ ἀφίει τὴν κατάραν· ἐτμήθη 〈οὖν〉 τὸν αὐχένα καὶ τῇ τεκούσῃ [para]συνανῆλθε βοῶν· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 24.66 Ἄφνω τὸ φῶς ἀστράψας, ἀγαθέ, τὸν τοπάρχην σὺν τοῖς ὑπασπίζουσι [para]ῥοπῇ μίᾳ εἰς τέλος ἀνήλωσας· νυν 〈ὶ〉 δὲ πᾶσι δώρησαι, Χριστέ, ὡς πάντων 〈ὁ〉 θεὸς τῶν πταισμάτων συγγώμην· τὴν 〈σὴν〉 ἐκκλησίαν ὡς νύμφην περιθάλψον, τῷ κόσμῳ σου τὸ συμφέρον κἀμοὶ παράσχου [para]⟦τὴν⟧ ᾠδήν, ἵνα βοῶ· |:„Σοὶ πρέπει δόξα θεῷ τῷ κτίστῃ καὶ σωτῆρι τῶν ὅλων.“:|

book 1.67 ⟦Ἡ φωτοφόρος καὶ ἔνδοξος ἄθλησις [para]τοῦ ἀθλοφόρου ἐφέστηκε σήμερον [para]Γεωργίου τοῦ κραταιῶς ἀρχὰς σκοτεινὰς ἐν Χριστῷ ἀηττήτῳ δυνάμει νικήσαντος [para]καὶ ποσὶ τοῖς ὡραίοις Βελίαρ πατήσαντος· |:ὁ στεφοδότης γὰρ τοῦτον ἐνίσχυσεν.:|⟧

book 1.67 Τῇ ἐκ νεκρῶν ἀναστάσει σου, κύριε, [para]λαμπροφοροῦσα ἡ κτίσις ἀγάλλεται [para]ἀνυμνοῦσα τοὺς ὑπὲρ σοῦ παθόντας, σωτήρ, καὶ φαιδρῶς δᾳδουχεῖται τοῖς ἄθλοις καὶ μώλωψιν· ὃ καὶ νῦν προεκλάμπει ἡμέρα ἑόρτιος, |:ἡ τῆς ἀθλήσεως μνήμη τοῦ μάρτυρος.:|

book 1.67 Τοῦ τὸν παράδεισον ποτὲ πεφυτευκότος τεχνίτου [para]καλλίστη γεωργία ὁ Γεώργιος εὑρέθη [para]καρποὺς ἡμῖν δείξας βρύοντας ἀθανασίαν· οὐδὲν γὰρ ὅλως ἐν Χριστῷ εὑρεῖν ἔστιν ἄπιστον, κἂν τινὲς βασκάνων, ἄπιστοι ἄνδρες, [para]λίαν τυφλωθέντες ἑαυτοὺς ἔλαθον ταχὺ ἐχθρῶν βουλὴν νοσήσαντες. ἔθεντο τὸ αὐτῶν εἰς οὐρανὸν στόμα [para]λαλοῦντες ἄδικα δολίοις χείλεσιν κατὰ τοῦ δικαίου· πιστοῖς δὲ νοείσθω δυνατὰ εἶναι τῷ κτίστῃ πάντα. Χριστοῦ οὖν δοῦλοι ἅπαντες τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 2.67 Οὐκ ἰσωθῆναι γὰρ ἡμᾶς προσήκει τοῖς ἀπιστοῦσι· [para]κοινὸν οὐδὲν γὰρ ἔστι, φησί, τῷ φωτὶ πρὸς σκότος [para]ἢ βεβήλοις πάλιν πρὸς καθαρὰν μετουσίαν· ἐρῶ δε ἄρτι ἐκ γραφῆς τῆς θείας, ἣν οἴδατε, ἵνα παραστήσω ἐξ ἑκατέρας, τῆς ἀρχαιοτέρας καὶ τῆς μετέπειτα καινῆς, τὰ τοῦ Χριστοῦ τεράστια, ὅπως τε φοβερὰ καὶ ἐν σοφίᾳ [para]σημεῖα ἔδειξε πρὸς τὸ βροτοὺς σῶσαι ἐκ πλάνης Βελίαρ, ὃν ἴσμεν ἀπαύστως ἀπόλλειν πάντας νυκτὸς ἡμέρας· καὶ γνόντες ὡς πιστοὶ ὄντες τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 3.67 Ὑπὸ τοῦ πόθου ἐπαρθεὶς τοῦ πανευφήμου ἁγίου [para]ἐθάρρησα τοῦ λέγειν πρὸς ὑμᾶς οὐκ ἀγνοοῦντας· [para]ἴστε γὰρ οἱ πάντες τὸ γεγονὸς ἐν Ἠλίᾳ σημεῖον μέγα τοῦ τῆς χήρας γόνου ὑπάρχοντος, ὅνπερ ἐκ τοῦ τάφου ἤγειρεν οὗτος· [para]εἶτα Ἐλισσαῖον τὸν Σωμανίτιδος υἱὸν ὁμοίως ἀναστήσαντα· πάλιν δὲ ὕστερον, ὅτε καιρὸς ἦν, [para]τὸν βίον λείψαντας μετὰ τὴν ἔγερσιν· καὶ βλέπομεν τούτους δὶς ἀποθανόντας καὶ σιωπῶμεν μὴ ἐκζητοῦντες· καὶ ὧδε οὖν πιστοὶ Χριστοῦ τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 4.67 Τῶν ἀντιδίκων ἴσως τὶς ἀντείποι λέγων πρὸς ταῦτα, [para]μὴ ἴσον τοῦτο εἶναι τὸ λεχθὲν τοῖς ζητουμένοις· [para]ἕτερον γὰρ εἶναι τὸ νεκρωθέντα ⟦εὐθὺσ⟧ ἐγεῖραι, καὶ νεκρωθέντα πολλαχῶς τὰ μέλη ὑφίστασθαι καὶ τὰς ἀφορήτους βασάνους στέξαι συντριβέντων τούτου σαρκῶν, ὀστῶν καὶ μυελῶν· καὶ ὅλως ἠγνοήκασιν, ὅτιπερ τὰ ὀστᾶ τῶν τεθνεώτων [para]ὁ Ἰεζεκιὴλ ἐν τῷ πεδίῳ πρὶν εὑρὼν ξηρανθέντα, ἐν τῷ προφητεύειν ἑώρα ἄνδρας ἐν κόσμῳ ζῶντας· πιστῶς οὖν οἱ γινώσκοντες τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 5.67 Ἀλλ’ οὖν δειξάντων τὸ σαφὲς καὶ ἐκ τῶν ἤδη λεχθέντων [para]καὶ ἔγνωμεν οὓς εἶπον ἐκ νεκρῶν ἀνασταθέντας [para]καὶ πάλιν θανέντας, τῆς χάριτός νυν μνησθῶμεν· ποτὲ ὁ Πέτρος Ταβηθὰν θανοῦσαν ἐξήγειρεν καὶ ὁ Ἰωάννης ἐν τῇ Ἐφέσῳ [para]κόρην λεγομένην Δρουσιανὴν ἐκ τῆς σοροῦ μετὰ τὴν τρίτην ἤγειρεν· καὶ αὐτὴ ζήσασα ὕστερον πάλιν [para]εἶδεν τὸν θάνατον ὡς πάλαι Λάζαρον τεταρταῖον ὄντα ἴσμεν ἀναστάντα πάλιν δὲ χρόνῳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταστάντα· ὅθεν, πιστοί, γινώσκοντες τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 6.67 Λαὸν δικαίων ἔγνωμεν ἐν τῇ τοῦ ἥμων σωτῆρος [para]ἐγέρσει ἀναστάντας δι’ αὐτοῦ ἐκ τῶν μνημείων [para]καὶ ἐν τῇ ἁγίᾳ εἰσελθόντας τότε πόλει· ἐμφανισθέντας τρανῶς τοῖς πολλοῖς ἀνεγνώκαμεν, ὧνπερ τοὺς ἐνίους καὶ χρόνῳ ζῶντας, [para]τούς δε ἄλλους φθάσαι τοὺς κοιμηθέντας ταχινῶς· ἀλλ’ ἴσως ἄλλοι εἴπωσιν· „Οὗτοι μὲν ἔθανον κοινῷ θανάτῳ, [para]οὐχ ὡς ὁ μάρτυς δὲ τροχῷ τὰ ἅπαντα ὀστᾶ τε καὶ μέλη ὡς χνοῦς σκορπισθείς δε ⟦νῦν⟧ ζῶν καθωρᾶτο·“ ἐγὼ οὖν λέξω· „Οὐδέν ποτε Χριστῷ ἐστιν ἀδύνατον· καὶ σεβώμεθα |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.“:|

book 7.67 Ἆρα οὖν οὗτος ὁ σεπτὸς μειζόνων ἠξιωμένος [para]ἐπιτυχὼν καὶ θείας χειρὸς τῆς ἐνισχυούσης, [para]πῶς οὐκ ἴσχυσέν ἀν ὑπομεῖναι ὑπὲρ φύσιν τρόπῳ γενναίῳ καὶ ἐνδόξῳ πίστει τοῦ κτίσαντος; πῶς δὲ καὶ τῷ πλάστῃ, ἄν τις θαρρήσῃ ἢ ὅλως ἐπιγράψῃ τὸ μὴ ὃ θέλει ποιεῖ , εἰ μή που ἀσεβής ἐστι; ταῦτα οὖν ἀκριβῶς ὡς πιστοὶ ὄντες [para]μὴ ἀγνοήσωμεν μηδὲ διστάσωμεν—δυνατὸν γὰρ ἔστι θεῷ ἅπαν ῥῆμα— καὶ μὴ ὀφθῶμεν ἀπίστων ἴσοι, ἀλλ’ ὡς Χριστῷ δουλεύοντες τιμήσωμεν καὶ ὑμνήσωμεν |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 8.67 Ῥᾷον οὐκ ἦν πεῖσαι αὐτοὺς τοὺς ἀπειθοῦντας τῷ λόγῳ, [para]παρ’ οἷς μέχρι καὶ δεῦρο ἡ αὐτῶν πώρωσις μένει, [para]ὥσπερ ἴσμεν πάντες· δέδονται οὖν τὰ σημεῖα, ὣς ἔφη ⟦ὁ⟧ Παῦλος, τοῖς ἀπίστοις οὐ τοῖς πιστεύουσι· τούτοις καὶ ὁ μάρτυς κεκοσμημένος [para]πλείστους τῶν ἀπίστων τῇ πίστει προσῆξεν Χριστοῦ αὐτοῦ τὴν χάριν δίδοντος· τούτῳ οὖν νείμωμεν δόξαν καὶ αἶνον [para]τῷ εὐδοκήσαντι τοῦ σῶσαι ἅπαντας τοὺς θέλοντας γνώμῃ ἰδίᾳ σωθῆναι καὶ προσκυνοῦντας τῷ εὐεργέτῃ· διὸ καὶ νῦν προσδράμωμεν, τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 9.67 Ὡς μάρτυς πέλων τοῦ Χριστοῦ μέγας τε καὶ στεφανίτης [para]Γεώργιος εὑρέθη ἐν τοῖς πέρασιν ἐκλάμπων [para]καὶ καλούμενός δε ὑπερασπίζει σπουδαίως, ὃς ζήλῳ μόνῳ καὶ τῷ πόθῳ Χριστοῦ φλεγόμενος πάλαι ἀνεβόα τοῖς παρανόμοις [para]λέγων· „Χριστὸν σέβω, τὸν βασιλέα καὶ θεόν, καὶ δαίμονας βδελύττομαι.“ πάντων δὲ μηχανῶν προτεθειμένων, [para]καταφρονεῖν αὐτῶν ὁ μάρτυς ἔλεγεν θαρρῶν ἐν τῇ πίστει Χριστοῦ τοῦ σωτῆρος·

book 9.67 καὶ κατεφρόνει πτωχείας πλοῦτον. ὡς ταῦτα οὖν γινώσκοντες τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 10.67 Μόνον τοιαῦτα ἤκουσαν, συνέχοντες ⟦τὸν⟧ Χριστοῦ δοῦλον [para]ἐμάστιζον ποικίλως οἱ ἐξάρχοντες Ῥωμαίων [para]ἀπανθρώπως λίαν καὶ ἀπηνῶς αἰκιζόντες· ὡς δὲ προσεῖχον δυνατὰ τὰ ὄντα ἀδύνατα καὶ τὸν μηδαμόθεν ζῆν ἐλπισθέντα [para]ὥσπερ ἐκ νεκύων ἐξεγερθέντα ἰσχυρῶς, ἐξέστησαν τῷ θαύματι· καὶ ἀκμὴν ἄπιστοι ἔμενον οὗτοι [para]φρουροῦντες μέν αὐτον, σκεπτόμενοι δὲ πῶς, [para]⟦ἢ⟧ τί δράσωσι πλέον· καὶ γὰρ διηπόρουν καὶ ἐν μαγείᾳ καὶ ἐν μανίᾳ· ἡμεῖς οὖν ὡς Χριστοῦ δοῦλοι τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 11.67 Ἅπασαν βλέπων μηχανὴν Διοκλητιανὸς ἄναξ [para]ἀργοῦσαν αὐτῷ τότε κολακεύων ἐνουθέτει· [para]„Εἴ γε μοὶ πεισθείς, ποιήσω σε μεγιστᾶνον“· ὁ δὲ γενναῖος πάσας τὰς τιμὰς βδελυξάμενος καὶ τὰς βασιλείας πάσας τοῦ κόσμου, [para]κρείττονα ἡγεῖτο τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· διὸ καὶ Ἀλεξάνδρειαν ἔπεισε τοῦ λιπεῖν τὴν ἁλουργίδα [para]καὶ τὸν Χριστόν ποθειν· ἥτις ἠγώνισται, τὸν τοῦ μαρτυρίου τελέσασα δρόμον, καὶ ἠξιώθη ἀντὶ προσκαίρων βασιλείας ⟦οὐρανῶν⟧· διό πιστοι δοξάσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 12.67

Νικᾶται σῖγα ὁ Σατᾶν ἐν γενεαῖς καθ’ ἑκάστην, [para]καὶ πᾶσα ἀνομία ἐμφράσσει αὐτῆς τὸ στόμα· [para]καὶ λοιπὸν ὁρᾶται ἡ ὑπερβάλλουσα χάρις ἡ τοῦ σωτῆρος· αὐτὸν γὰρ φοβεῖται ὁ θάνατος, ὥστε καὶ 〈τὸ〉 πλῆθος ἅπαν ἐκεῖνο ἀτενίσαν τότε ὕμνον ἀναπέμψαι θεῷ πιστεῦσαι τε τοῖς θαύμασιν· οὗτος οὖν ὁ σεπτὸς πλείστους στηρίξας [para]Χριστιανούς ποιει καὶ τὸν θεόν αἴτει δοῦναι αὐτῷ χάριν, ἵνα πᾶς αἰτήσας διὰ ἐκείνου ὧν θέλει τύχῃ· καὶ ἔλαβε καὶ δίδωσι πιστοῖς πᾶσι, δι’ ὧν καὶ στέρξωμεν |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 13.67 Ὅστις ἐὰν αἰτήσῃ γαρ ἐν γῇ τε καὶ ἐν θαλάσσῃ, [para]ἐν πράγμασι καὶ δίκαις φοβεροῖς τε ἐνυπνίοις, [para]τοῦ σκοποῦ τυγχάνει τῇ χάριτι τοῦ σωτῆρος· αὐτὸς οὖν τότε σὺν Χριστῷ ποθήσας διάγειν ἀεί, ξίφει τελειοῦται χαίρων καρδίᾳ· [para]ὢν δὲ ⟦νῦν⟧ σὺν ἀγγέλοις μειζόνως κήδεται ἡμῶν τῶν ἐγγιζόντων πρός αὐτον· σπεύδει γὰρ ὑπὲρ πάντων ἡμῶν πρεσβεύειν [para]τῶν δούλων τοῦ Χριστοῦ, τῶν πίστει τῇ αὐτοῦ τούτων δεομένων· καὶ πᾶς τις εὖ πάσχων τῷ πλάστῃ αἶνον προθύμως πέμπει· διὸ δοῦλοι Χριστοῦ πάντες τιμήσωμεν τοῖς σεπτοῖς ὕμνοις |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 14.67 Ὑπὸ τῶν θείων λόγων σου ἐκπαιδευόμεθα πάντες [para]ἀναίμακτον θυσίαν σοί, Χριστέ, ἀεὶ προσάγειν, [para]αἰνέσεως λόγους δεκτούς σοι ὕπερ τοὺς μόσχους, ἀποδιδόντας τὰς εὐχάς, ἃς ἐν σοὶ εὐξόμεθα, σὲ ἐπικαλεῖσθαι ἐν πάσῃ θλίψει, [para]ὅπως ἡμᾶς ῥύσῃ τῶν προσπιπτόντων συμφορῶν τὴν δόξαν σου ὑμνήσαντας. τούτοις οὖν πιστωθεὶς ἥκω αἰτῶν σε [para]πταισμάτων ἄφεσιν καὶ λύπης στέρησιν ὀδυνῶν τε λύσιν, ψυχῆς δὲ τὴν ῥῶσιν, σαρκὸς ὑγείαν ἐν εὐφροσύνῃ, ἱνὰ κἀγὼ σὺν τοῖς πιστοῖς οἰκέταις σου ἀνυμνήσω〈μεν〉 |:τὴν τῆς ἀθλήσεως μνήμην τοῦ μάρτυρος.:|

book 1.68 Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα, [para]κακοδοξίας ἀκάνθας ἐξέτεμες πληθύνας τὸν σπόρον τῆς πίστεως [para]τῇ ἐπομβρίᾳ τοῦ πνεύματος, ὅσιε· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 1.68 Ἀθανασίας κλέος ὑπάρχων νεκρωθέντα με, πάτερ, ἁμαρτίαις πολλαῖς ἀνάστησον ταῖς πρεσβείαις σου· λόγον ζωήρρυτον δός μοι, ὅπως ἀνυμνήσω τοὺς ἄθλους σου, ἱεράρχα, οὓς διελθὼν τοὺς διώκοντας πάντας κατέβαλες ὡς μύστας τῆς ἀσεβείας καὶ ἐχθροὺς τοῦ Χριστοῦ ἐνυπάρχοντας· πιστοὺς δὲ πάντας ἐφώτισας τῆς τριάδος γενόμενος πρόμαχος· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 2.68 Ἴσον τελέσας δρόμον ἐν βίῳ τῶν σοφῶν ἀποστόλων ἐξισώθης αὐτοῖς καὶ μετὰ τέλος, μακάριε· ὧν γὰρ τὸν βίον ἐν ἀληθείᾳ ἐμιμήσω ἀξίως καὶ συγχορεύεις, ὧν τοὺς θεσμοὺς διετράνωσας μᾶλλον ἢ ἔλυσας δικαίως καὶ τῶν στεφάνων ὡς αὐτοί, θεοφόρε, ἐπέτυχες· γινώσκει γὰρ ἀρετὴ τοὺς αὐτῆς ἐραστὰς ἀνυψοῦν ἀληθέστατα· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 3.68 Νυμφοστολίσας τὴν ἐκκλησίαν ῥήμασιν, οὐ σμαράγδοις, ὥσπερ νύμφην αὐτὴν ὡραιοτάτην παρέστησας τῷ ὑπὲρ ταύτης σφαγιασθέντι καὶ τὸ αἷμα κενώσαντι τὸ οἰκεῖον· ὅθεν πιστῶς ἀνυμνεῖ σου τὴν θείαν πανήγυριν σὺν πᾶσι τοῖς τεθραμμένοις ἐν τοῖς θείοις λογίοις σου, ὅσιε· αἱρετικῶν δὲ τὴν σύγχυσιν ἀποτρέπει τριάδα δοξάζουσα· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 4.68 Ὁ τῇ χειρὶ συνέχων τὰ πάντα καὶ καρδίας ἐτάζων τῶν ἀνθρώπων θεός, αὐτός σε, πάτερ, ἐτήρησεν ἄτρωτον ἐκ τῶν ὑπεναντίων καὶ κατῄσχυνε τούτους ψευδηγοροῦντας καὶ διὰ σοῦ ἀτιμίας πληρώσας τὰς ὄψεις αὐτῶν· χειρὸς γὰρ τῆς ἐκκοπείσης εὑρεθέντες ἐξαίφνης ὑπεύθυνοι ἐδόξασάν σε ἢ ἔθλιψαν· ἀρετὴ γὰρ οὐδόλως μολύνεται· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 5.68 Σύμβουλον ἔχοντες τῆς ἰδίας ἀνομίας τὸν ὄφιν τὸν τὸ πρὶν τὸν Ἀδὰμ ἐν παραδείσῳ σκελίσαντα, ἄσεμνον γύναιον ἐφευρόντες ἐδοκίμασαν σοῦ τὴν σαοφροσύνην ἐν τοῖς ἀτίμοις ἐκθέσθαι, θεόφρον πατήρ ἥμων· ἡττήθησαν δὲ ἐν πᾶσι τοῖς αὐτῶν παρανόμοις βουλεύμασιν ἐν τῇ συνέσει τῶν λόγων σου τὰ οἰκεῖα ἐμφράξαντες στόματα· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 6.68

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ῥεύματα θείας διδασκαλίας ἀναβλύσας τῷ κόσμῳ τὰς ψυχὰς τῶν πιστῶν κατήρδευσας, Ἀθανάσιε· αἱρετικῶν δὲ τοὺς προεστῶτας κατεπόντισας ἄλλους ὡς Αἰγυπτίους μόνον ἡμῖν θεοχάρακτον δοὺς τὴν ὀρθόδοξον προσκύνησιν τῆς τριάδος ἐν μιᾷ τῇ θεότητι σέβεσθαι, ἐν ᾗ ἡμᾶς περιφρούρησον ἐξ ἐχθρῶν ἀοράτων ῥυόμενος· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 7.68 Ὦ ποία γλῶσσα τὰς σὰς ἐξείποι θλίψεις καὶ περιστάσεις, ἃς ἐν γῇ καὶ ὑγρᾷ ἐτέλεσας διωκόμενος; ⟦τὰσ⟧ ἐπιβουλὰς τῶν αἱρετιζόντων, τάς 〈τε〉 ἐπαναστάσεις καὶ τὰς δημεύσεις, καὶ τὰς μακρὰν ἐξορίας, πυκνὰς ἐπανόδους τε καὶ πάλιν τοὺς διωγμούς σου, οὓς ὑπέστης γενναίῳ φρονήματι ὑπὲρ τῆς πίστεως, ἅγιε; ἣν καὶ νῦν ταῖς πρεσβείαις σου κράτυνον· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 8.68 Μόνος θεὸς ὁ πάντων τὴν γνῶσιν κεκτημένος αὐτός σε ἐκ παιδόθεν σοφῶς προέγνω τε καὶ προώρισε πρόεδρον ἐκκλησίας γενέσθαι καὶ αὐτῷ λειτουργῆσαι χερσὶν ἀθῴοις, τὸν τὸν αὐτοῦ πρὸ αἰώνων υἱὸν καταγγέλλοντα διπλοῦν ταῖς φύσεσιν ὄντα καὶ οὐχὶ τὴν ὑπόστασιν, ὅσιε, θεὸν καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν γνωριζόμενον κύριον· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 9.68 Ἀθανασίου δεῦτε συμφώνως τὴν πανέορτον μνήμην ἐν ᾠδαῖς οἱ πιστοὶ ἀνευφημήσωμεν σήμερον· οὗτος γὰρ Ἄρειον τὸν πλάνον καὶ Εὐνόμιον ἅμα σὺν Σαβελλίῳ ἐν τῷ βυθῷ τῆς αὐτῶν ἀσεβείας ἐνέβαλον· πυρὶ γὰρ τῷ αἰωνίῳ παραδώσας αὐτοὺς κατακαίεσθαι ὡς βλασφημήσαντας ἄδικα κατὰ τῆς τοῦ σωτῆρος σαρκώσεως· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 10.68 Νύκτα καχέσπερον τῆς ἀπάτης ἐκδιώξας τοῖς πᾶσι σὺ ἀνέλαμψας φῶς ὀρθοδοξίας, μακάριε· καὶ τοὺς ἐν ζόφῳ κεκρατημένους ὁδηγήσας πρὸς γνῶσιν θεογνωσίας τοῦ νοητοῦ Φαραὼ λυτρωσάμενος, ἅγιε, καὶ μάννα διδασκαλίας τὰς καρδίας αὐτῶν ἄγαν ἔπλησας σφραγῖδι τούτους τυπώσας, σοφέ, μὴ πτοεῖσθαι αἱρέσεων ὄλεθρον· |: 〈διό σε ὑμνοῦμεν, Ἀθανάσιε.〉 :|

book 11.68 Ὁ ἐκ παρθένου ἀφράστῳ τόκῳ προελθὼν θεὸς λόγος κρίμασίν οἷς αὐτὸς ἐπίσταται διεφύλαξεν σὲ ἐν οἰκίᾳ παρθένου κόρης θησαυρὸν ἀδαπάνητον τοῖς πενίᾳ πιεζομένοις δογμάτων οὐ χρημάτων, Ἀθανάσιε· πλουτεῖ γαρ πᾶσα ἡ κτίσις ὡς χρυσίον τοὺς λόγους κατέχουσα τῶν σῶν θεσμῶν καὶ ἐκτρέπεται, ὥσπερ κόνιν, βλασφήμων τὰ ῥήματα· |:διό σε ὑμνοῦμεν, Ἀθανάσιε.:|

book 12.68 ⟦Ὕπο τὸν θρόνον τοῦ βασιλέως καὶ δεσπότου τῶν ὅλων παρεστῶτες ἀεὶ πρεσβεύειν μὴ διαλείπητε, Ἀθανάσιε πάτερ σὺν τῷ Κυρίλλῳ, ἐν ὀρθοδοξίᾳ ἡμᾶς διάγειν καὶ ὁμονοίᾳ τὰ σκάνδαλα πάντα διώκοντες καὶ τοῖς ἐν εὐσεβείᾳ βασιλεῦσι τὴν νίκην δωρούμενοι, ὁπῶς τὸν βίον ἀτάραχον ἐκτελοῦντες συμφώνως δοξάζωμεν |:Χριστὸν τὸν σωτῆρα τῶν ψυχῶν ἡμων.:|⟧

book 1.69 Μιμητὴς ὑπάρχων τοῦ ἐλεήμονος [para]καὶ ἰαμάτων τὴν χάριν κομισάμενος, ἀθλοφόρε καὶ μάρτυς Χριστοῦ τοῦ θεοῦ, ταῖς εὐχαῖς σου τὰς ψυχικὰς ἡμῶν νόσους θεράπευσον, ἀπελαύνων τοῦ ἀεὶ πολεμίου τὰ σκάνδαλα [para]ἐκ τῶν βοώντων πιστῶς· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 1.69 Τοῦ ἀναργύρου τὴν μνήμην, τοῦ γενναίου τὴν ἄθλησιν, τοῦ πιστοῦ τὰς ἰατρείας [para]εὐσεβῶς ὑμνήσωμεν, φιλόχριστοι, ἵνα λάβωμεν ἔλεος, μάλιστα οἱ βορβορώσαντες ὡς κἀγὼ τοὺς ἑαυτῶν ναούς· [para]ψυχῶν γὰρ καὶ σωμάτων, ἀγαπητοί, τὴν θεραπείαν παρέχει· σπουδάσωμεν οὖν, πιστοὶ ἀδελφοί, ἐν ταῖς καρδίαις ἡμῶν [para]ἔχειν τοῦτον ἀσφαλῶς, τὸν ῥυόμενον ἐκ πλάνης τοὺς βοῶντας· |:„Σῶσον ἡμᾶς, κύριε“.:|

book 2.69 Ὁ συνετὸς ἐπιστήμων, ὃν ὁ κύριος ἔφησε· „Παντελεήμων ⟦σὺ⟧ κληθήσῃ· [para]ἐλεεῖς τὰ σύμπαντα ὡς μαθητὴς τοῦ κυρίου φερώνυμος.“ οὗτος οὖν ὁ φαεινότατος πόθεν ἦν, ἐξερευνήσωμεν [para]καὶ ἐν ποίᾳ πατρίδι γεγέννηται, τίνες οἱ τούτου γενέται· τὸ σέβας τὸ πρίν, τὴν ἐπιστροφὴν ἀμφοτέρων εἰς θεόν, [para]τὴν ἀοίδιμον στοργὴν ἐν τοῖς ἄθλοις τῶν ἀγώνων τοῦ βοῶντος· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 3.69 Ὑἱὸς ἦν Νικομηδαίου Εὐστοργίου τοῦ Ἕλληνος, οὗ ἡ μήτηρ Εὐβουλία τὸν Χριστὸν ἐσέβετο, λανθάνουσα τῶν κρατούντων τὴν ἄνοιαν· προὔτρεπε τὸν ὑἱὸν αὐτῆς λέγουσα· „Φύγε τοῦ

δαίμονος [para]τὴν δυσώδη λατρείαν καὶ βέβηλον, τὴν ὁδὸν τῆς ἀπωλείας· κολλήθητι δὲ τῷ πλάσαντι σέ, τῷ θεῷ τοῦ οὐρανοῦ, [para]τῷ σταυρωθέντι σαρκί, ἵνα εὕρῃς παρρησίαν, ὅταν εὔχῃ· |:„Σῶσον ἡμᾶς, κύριε῾."·:|

book 4.69 Τοιαῦτα μέτα δακρύων τῷ υἱῷ παραγγέλουσα τὸν δεσπότην ἐδυσώπει· [para]„Ἐνοικήσει, κύριε, ὁ φόβος σου τῷ υἱῷ τῆς παιδίσκης σου· σθένωσον τοῦτον, φιλάνθρωπε, πλήρωσον τῆς σῆς δυνάμεως, [para]νικησάτω ⟦τοῦ⟧ Βελίαρ τὰ θήρατρα, κολληθήτω ⟦τοῖσ⟧ σωζομένοις· σοί, δέσποτα μοῦ, προσφέρω αὐτὸν ἐγὼ ἡ ἁμαρτωλόσ"· [para]ταῦτα λέγουσα Χριστῷ ἐκοιμήθη ἐν εἰρήνῃ εὐχομένη· |:„Σῶσον ἡμᾶς, κύριε.":|

book 5.69 Ἀκμάζει ὁ νεανίας, κατορθοῖ τὰ διδάγματα, μαθητεύει Εὐφροσύνῳ [para]ἰατρῷ ἐπιστήμονι τὰ μάλιστα, ἵνα γνῷ τὰ φιλόσοφα, πλήρης ὢν πάσης συνέσεως· οὔτε γὰρ περιεπάτησε [para]ποτὲ μετὰ ἀτάκτου, ὡς γέγραπται, οὔτε ὤφθη ἐν θεάτρῳ· ὑμνήσωμεν οὖν, πιστοὶ ἀδελφοί, τὸν καλέσαντα αὐτὸν [para]ἐκ τοῦ σκότους εἰς τὸ φῶς, ἵνα σχῶμεν παρρησίαν ἐν τῷ ψάλλειν· |: „Σῶσον ἡμᾶς, κύριε.":|

book 6.69 Προγινώσκει γὰρ τὰ πάντα ὁ ποιήσας τὸν ἄνθρωπον, ὅτι σκεῦος ἐκλογῆς ἦν [para]ὡς Ἐνὼχ ὁ πρόγονος, 〈ὁ〉 Ἀβραὰμ ὁ προπάτωρ μετέπειτα· Μωϋσῆς ἐπὶ τὴν Αἴγυπτον, Ἰησοῦς κατὰ τὴν ἔρημον, [para]Δαβὶδ εἰς βασιλέα τὸν Ἰσραήλ, Ἰωνᾶς τοῖς Νινευίταις καὶ Παῦλος νυνὶ τῷ κόσμῳ παντὶ ὁ κηρύξας πανταχοῦ [para]καὶ διδάξας τοὺς λαοὺς τὴν ὁδὸν τῆς σωτηρίας καὶ τὸ ψάλλειν· |:„Σῶσον ἡμᾶς, κύριε.":|

book 7.69 Ἰησοῦς ὁ ἀποστείλας τῷ εὐνούχῳ τὸν Φίλιππον καὶ Κηφᾶν τῷ Κορνηλίῳ [para]αὐτὸς ἐξαπέστειλε τῷ συνετῷ τὸν πρεσβύτην Ἑρμόλαον, ὃς εὑρὼν τὸν γενναιόφρονα πεύθεται τὴν γενεάν αὐτου [para]καὶ τὸ ποίας θρησκείας ὑπάρχουσι τὴν παιδείαν καὶ τὸ κῦρος· πρὸς ταῦτα φησίν· „Υἱὸς μὲν εἰμὶ Ἕλληνος συγκλητικοῦ, [para]μητρός δε Χριστιανῆς· τελευτᾷ δὲ ἡ τοιαύτη εὐχομένη· |:„Σῶσον ἡμᾶς, κύριε῾.":|

book 8.69 Νευροῦται ταῦτα ἀκούσας ὁ πρεσβύτης καὶ ἔφησεν· „Ὁ Χριστὸς ὁ πρὸ αἰώνων, [para]ὃν ὑμνεῖ τὰ σύμπαντα, φωτίσοι σε ταῖς εὐχαῖς τῆς τεκούσης σε· δῴη σοι ἃ προητοίμασε τοῖς πιστοῖς ὁ ἀψευδὴς θεός, [para]ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν, οὐδ' ἀνέβη εἰς καρδίαν· ἀλλ' ἄκουσον μοῦ, καὶ δέξαι πιστῶς τὴν σφραγῖδα τοῦ Χριστοῦ, [para]ἵν' ἐν τούτῳ ἀσφαλῶς θεραπεύῃς πᾶσαν νόσον ἀναμέλπων· |:„Σῶσον ἡμᾶς, κύριε῾.":|

book 9.69 Ὁ συνετὸς κατηνύγη καὶ ἀόκνως παρέβαλλε καθ' ἑκάστην τῷ πρεσβύτῃ [para]ὠφελείας ἕνεκα μνησκόμενος μητρικῶν παραινέσεων· θαῦμα δὲ τοιοῦτον γέγονεν· εἶδε γάρ, ἐν ᾧ πορεύεται, [para]παιδίον ἐρριμμένον, ὃ ἔκτεινεν ἔχιδνα πονηροτάτη· θροεῖται μικρόν· νευροῦται εὐθὺς ἐκπειρᾶσαι τὸν Χριστόν, [para]τί παρέχει τοῖς αὐτοῦ, καὶ εἰ σώζει ἐκ θανάτου τοὺς βοῶντας· |: „Σῶσον ἡμᾶς, κύριε.":|

book 10.69 „Ὑμνῶ σε τὸν πρὸ αἰώνων, ὃν ἡ μήτηρ μου ἔσεβεν, ὃν φασὶ κύριον πάντων, [para]εἰ προῄρησαι ἔχειν με οἰκέτην σου, καὶ ὑπείκειν ⟦σου τῷ⟧ θελήματι· δεῖξον μοι τὴν δυναστείαν σου, ζήσεται ὁ παῖς ὁ τεθνηκώς, καὶ ῥαγῇ τὸ θηρίον τὸ πονηρόν, ἵνα γνώσω τὴν ἰσχύν σου·" ἀνέστη ὁ παῖς, ἐρράγη εὐθὺς τὸ θηρίον τὸ δεινόν, [para]καὶ βοᾷ ὁ συνετός· „Σὺ 〈εἶ〉 ὁ κτίσας τὰ πάντα, σοὶ κραυγάζω· |:„Σῶσον ἡμᾶς, κύριε῾.":|

book 11.69 Ῥαδίως πάντα γνωρίζει τῷ σεπτῷ τὰ παράδοξα ὡς πατρὶ καὶ διδασκάλῳ· [para]πάντων γὰρ προέκρινεν ὁ ὅσιος τὸν πρεσβύτην Ἑρμόλαον. ταῦτα δὲ λέγων ἐδέετο ἐξαυτῆς τυχεῖν τῆς χάριτος [para]τῆς ἐν Χριστῷ σφραγῖδος καὶ τοῦ λουτροῦ τοῦ τῆς παλιγγενεσίας· ἐμέμνητο γὰρ ἀπαύστως λοιπὸν τῶν ῥημάτων τῆς μητρός, [para]ὧνπερ ἔφη πρὸς αὐτόν· „Τέκνον, σπεῦσον προσκολλᾶσθαι τοῖς βοῶσι· |:„Σῶσον ἡμᾶς, κύριε῾.":|

book 12.69

Ὡς ταῦτα ἔγνω ὁ πρέσβυς, ἀναμέλπει γηθόμενος καθορῶν τὸν νεανίαν [para]λιπαρῶς αἰτούμενον τὸ βάπτισμα καὶ πληροῖ τὰ θεάρεστα· ἐξαυτῆς φωτίζει τὸν πιστόν, ἀξιοῖ τῆς μεταλήψεως [para]τοῦ σώματος τοῦ θείου καὶ αἵματος τοῦ ἀτρέπτως σαρκωθέντος Χριστοῦ τοῦ θεοῦ, διδάξας αὐτὸν σὺν πατρὶ καὶ υἱῷ [para]ἅγιον πνεῦμα ὑμνεῖν πίστει ἐλπίδι καὶ ἀγάπῃ ἐν τῷ ψάλλειν· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 13.69 Μονάδα οὖν ἐν τριάδι καὶ τριάδα ἀμέριστον τὴν ἁπάντων ἐπεκεῖνα, [para]ἣν ὑμνεῖ τὰ σύμπαντα δοξάσωμεν, ἣν ὑμνοῦσιν ἀρχάγγελοι, Χερουβὶμ ἅμα καὶ Σεραφίμ, θρόνοι τε καὶ κυριότητες, [para]ἀρχαὶ καὶ ἐξουσίαι καὶ σὺν αὐτοῖς ὁ χορὸς τῆς ἐκκλησίας ταὐτὸν δὲ εἰπεῖν καὶ πᾶσα πνοὴ νοητῶν καὶ ὁρατῶν [para]τῷ τῶν ὅλων ποιητῇ ὡς θεῷ καὶ εὐεργέτῃ ἐκβοῶντες· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 14.69 Ἀκούσας θείων δογμάτων κατηνύγη ὁ πάνσοφος καὶ ὡς πρέμνον ἐφυτεύθη [para]παρὰ τὴν διέξοδον τοῦ ὕδατος καὶ καρπὸν ἀποδέδωκεν· ἑαυτὸν τηρήσας ἄμεμπτον τῷ θεῷ πολλοὺς προσήγαγε· τέλος τοῦ μαρτυρίου ἐπέτυχε καὶ πληροῖ τὸ γεγραμμένον· εἰς γῆν ἀγαθὴν ὁ σπόρος πεσὼν ἐν τριάκοντα τὸ πρὶν [para]καὶ ἑξήκοντα ἀνθεῖ, ἑκατὸν ἡ τελειότης τοῖς βοῶσι· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 15.69 Νουνεχῶς ἐπὶ τὴν πίστιν ὁδηγεῖ τὸν γεννήτορα καὶ φησὶ τῷ γηραλέῳ· [para]„Ἐρωτῶ σε, φράσον μοι τὸ ἄπορον ὃ ὁ νοῦς μου σημαίνει μοι· τὰ γλυπτὰ ταῦτα ἃ ἔχομεν στήκουσι καὶ οὐ βαδίζουσιν [para]οὐδὲ μετακινοῦνται τὸ σύνολον· πῶς οὖν ἄλλοις βοηθοῦσιν;“ μετήγαγεν οὖν πρὸς τὴν ἀρετὴν τὸν γενέτην παρευθὺς [para]μὴ προσάγειν τὰς σπονδὰς τοῖς ἀψύχοις, ἀλλὰ κράζειν τῷ σωτῆρι· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 16.69 Ὅτε οὖν ταῦτα ἐπράχθη, ἐξαυτῆς παρεγένετο πολυβλέπων, λιτανεύων· [para]„Παντολέον, ῥῦσαι με πηρώσεως καὶ τὰς κόρας μου φώτισον· πᾶσι γὰρ τοῖς λοιποῖς ἰατροῖς χρήματα ⟦πολλὰ⟧ πολλάκις δέδωκα [para]καὶ οὐδὲν ὠφελήθην τὸ σύνολον.“ πρὸς δὲ ταῦτα ὁ ἀγχίνους· „Ἰάσεται σὲ Χριστὸς ὁ θεός·“ καὶ ἰάθη παραυτά· [para]καὶ ἐξέστησαν ὁμοῦ οἱ ἐκεῖσε συμπαρόντες, καὶ ἀνεκράζον· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 17.69 Ὑπάγει οὖν παραυτίκα καὶ δηλοῖ τὴν ὑπόθεσιν τῷ πρεσβύτῃ Ἑρμολάῳ, [para]καὶ ἐλθὼν ὁ ὅσιος ἑώρακε θείαν ὄντως ἀλλοίωσιν· ᾔτησαν τυχεῖν τῆς χάριτος ὁ πατὴρ τοῦ γενναιόφρονος [para]καὶ ὁ θείᾳ ἐλλάμψει θεραπευθείς, καὶ φωτίζει ἀμφοτέρους διδάξας αὐτοὺς βιῶσαι ἁγνῶς καὶ τὸ πῶς δεῖ ἐκφυγεῖν [para]τῶν εἰδώλων τὴν ὁδόν, προσκολλᾶσθαι δὲ τῷ πλάστῃ καὶ κραυγάζειν· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 18.69 Τοῦ ἄνακτος Ἰωσίου μιμητὴς ἀνεδείκνυτο· καὶ γὰρ οὗτος ὡς κἀκεῖνος [para]τῶν εἰδώλων ἔλυσε τὸ θέατρον, ὡς διδάσκει τὸ σύγγραμα· τὸ λοιπὸν λατρεύων τῷ Χριστῷ ὁ πατὴρ αὐτοῦ ἐβίωσε· τελευτᾷ δὲ ἐάσας τὸν υἱὸν αὐτοῦ πολιτείᾳ ἐναρέτῳ· ὁ δὲ παρευθὺς βουλῇ ἀγαθῇ τοῖς δούλοις χρήματα δοὺς [para]ἐλευθέρωσε αὐτοὺς καὶ δουλοῦται τοῖς ἁγίοις τοῖς βοῶσι· |: „Σῶσον ἡμᾶς, κύριε.“:|

book 19.69 Ὡς μαθητὴς τοῦ σωτῆρος σωτηρία ἐγένετο τοῖς νοσοῦσι, καὶ παρεῖχε [para]τοῖς αἰτοῦσι χρήματα ὡς 〈ἅ〉 παντας τούτῳ μόνῳ προσέρχεσθαι· ταῦτα οὖν ἔγνω τὸ κίβδηλον ἄθροισμα τῶν ψευδοϊατρῶν, [para]καὶ τῷ ἄνακτι πάντα ἀνήγγειλεν, καθὼς γέγραπται, βοῶντες· „Οὐκέτι σπονδαὶ προσάγονται νῦν τὸ καθόλου τοῖς θεοῖς· [para]πάντων γὰρ τὰς ἀκοὰς συνταράσσει Παντολέων ἐν τῷ λέγειν· |:‚Σῶσον ἡμᾶς, κύριε'.:|

book 20.69 Αὐτὸς οὖν ὡς ἐπιστήμων, αὐτοκράτωρ θειότατε, βασιλεῦ τῶν ὑφηλίων, [para]ἐμμελῶς βασάνισον, ἃ ἔφημεν, ἵνα γνῷς τὴν ὑπόθεσιν· κέλευσον ἀχθῆναι παρὰ σοί, ὅντινα αὐτὸς ἰάσατο, [para]καὶ ἐκ τούτου γινώσκεις τὸ ἀληθές, ὅτι οὐ ψεῦδος ⟦σοι⟧ λαλοῦμεν.“ προσέταξεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὖν ἀχθῆναι αὐτῷ τὸν τυφλόν, ὃν ἰδὼν [para]ἐπηρώτα αὐτόν· „Τίς ἐποίησε σε βλέπειν, τίνι λέγειν· |:,Σῶσον ἡμᾶς, κύριε'·;“:|

book 21.69 „Νέμων ἰάματα πᾶσι Παντολέων ὁ ἅγιος τὸν Χριστὸν ἐπονομάσας [para]τῇ χειρὶ ἐσφράγισε τὰς κόρας μου καὶ εὐθέως ἀνέβλεψα· τούτοις γὰρ τοῖς ψευδοϊατροῖς χρήματα πολλὰ προσήγαγον [para]καὶ οὐδὲν ὠφελήθην τὸ σύνολον, ἀλλὰ μᾶλλον ἀπημβλύνθην· θεοὶ γὰρ τυφλοὶ τὸ σέβας αὐτῶν· πῶς οὖν εἶχον βοηθεῖν [para]προσκυνοῦντες τοῖς γλυπτοῖς, ὧν ἀπώλεια τὸ τέλος; οὐ γὰρ εἶπον· |:,Σῶσον ἡμᾶς, κύριε'.“:|

book 22.69 Ἀκούσας ταῦτα ὁ ἄναξ κακοτέχνῳ βουλεύματι ἔφησε τοῖς ὑπηκόοις· [para]„Ἐκ τοῦ ζῆν ἀπάρατε τὸν φλύαρον· Παντολέων ὀφθήτω μοι.“ Ἤχθη οὖν ὁ φαεινότατος, ὃν ἰδὼν ὁ ζοφωδέστατος [para]συμβουλίᾳ πανούργῳ ἔφη αὐτῷ· „Ὑὶὲ τοῦ Εὐστοργίου, ἐνδόξων ἀνδρῶν ἀπόγονος ὤν, μὴ ξενώσῃς σεαυτὸν [para]τῆς συγκλήτου καὶ ἐμοῦ, μὴ φυρῇς τοῖς καταδίκοις 〈τοῖσ〉 βοῶσι· |:,Σῶσον ἡμᾶς, κύριε'.“:|

book 23.69 Ῥητορεύει Παντολέων· „Θεοὶ οἳ οὐκ ἐποίησαν οὐρανόν τε καὶ τὴν γαῖαν [para]αὐτοὶ ἀπολέσθωσαν καὶ 〈ἅ〉 παντες οἱ τῇ πλάνῃ δουλεύοντες· γνῶμεν οὖν ἀρτίως, εἰ δοκεῖ, τίς ἐστιν ὁ χορηγῶν πνοὴν [para]τοῖς ἀνθρώποις καὶ φαίνων τὸν ἥλιον, τίς ὁ τανύσας τὸν πόλον, ἐγείρων νεκρούς, φωτίζων τυφλούς, πᾶσι πάντα χορηγῶν· [para]οὗ μαθόντες τὴν ἰσχὺν τούτῳ μόνῳ κολληθῶμεν ἐκβοῶντες· |:,Σῶσον ἡμᾶς, κύριε'.:|

book 24.69 Γνωστόν σοι ἔστω ὁ ἔφην· παρειμένον 〈εἰσ〉 ἄγαγε· καὶ ὑμεῖς ἅπαντες ἅμα [para]τοὺς θεοὺς οὓς σέβεσθε προσεύξασθε, καὶ ἐγὼ ὅνπερ σέβομαι.“ κλινήρης ἤχθη παράλυτος· ὃν ἰδὼν ἔφη ὁ τύραννος· [para]„Πρόσευξαι, Παντολέον, εἰσόμεθα τί ποιήσει ὁ θεός σου·“ ἀντέφη⟦σεν⟧ αὐτῷ ὁ ἅγιος παῖς· „Εὔξασθε πρῶτον ὑμεῖς, [para]ἴσως γὰρ θεραπευθῇ· εἰ δὲ μή, εὔξομαι τότε καὶ βοήσω· |:,Σῶσον ἡμᾶς, κύριε'.“:|

book 25.69 Ὑλακτοῦντες ὡσπὲρ κύνες τοῖς γλυπτοῖς ἐθυσίαζον· οἱ μὲν οὖν Δία ἐκάλουν, [para]ἄλλοι δὲ τὴν Ἄρτεμιν καὶ ἕτεροι Ἱπποκράτους ἐδέοντο· πάντων δὲ ματαία ἡ ἐλπίς· τοῦτο ⟦γοῦν⟧ γνοὺς ὁ βασιλεὺς βοᾷ· [para]„Πρόσευξαι Παντολέον, εἰσόμεθα“· καὶ ἐπέβλεψεν ὁ μάρτυς πρὸς τὸν ἀσθενῆ καὶ δὴ πρὸς αὐτόν· „Ἐν ὀνόματι Χριστοῦ [para]ἐξανάστα ὑγιής·“ καὶ ἀνέστη ἐρρωμένος λιτανεύων· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 26.69 Ῥαψωδίαις πολυπλόκοις ἀντεβόλουν τῷ ἄνακτι οἱ ἱερεῖς τῆς αἰσχύνης· [para]οἱ θεοὶ τὴν ἴασιν εἰργάσαντο, οὐχ ὁ πλάνος ὁ γόης 〈δέ〉. ἔφη δέ· „Τὸν πλάνον φέρετε.“ καὶ φησί· „τούτῳ μὴ μώραινε, [para]ὥσ⟦περ⟧ Ἄνθιμος ὁ γέρων πρὸ ὀλίγου καὶ οἱ ἄλλοι οἱ κτανθέντες.“ βοᾷ ὁ πιστός· „Ἐνεύρωσας μέ· εἰ γὰρ γέρων κατὰ σοῦ [para]ἀνεδείχθη νικητής, αἱ μηχαναί σου ὀλοῦνται ψάλλοντός μου·

book 26.69 |:,Σῶσον ἡμᾶς, κύριε'.“:|

book 27.69 Ω....

book 28.69 Ψυχικοῖς ὄμμασιν εἶδε τὸν σωτῆρα ὁ ἅγιος καὶ ηὐξήθη οὖν τῇ πίστει· [para]ἀσμένως οὖν ἔφερε τὴν στρέβλωσιν τοῦ βραβείου κηδόμενος· νοητῶς δεῦτε ὀψόμεθα θέατρον ἀξιοθαύμαστον· [para]γυμνὸν τὸν ἀριστέα κατίδωμεν ἐν τῷ σταδίῳ ἑστῶτα, ἀντίκρυς αὐτοῦ Ἑλλήνων πληθύς· ταῦτα μὲν ἐπὶ τῆς γῆς, [para]τὸ στέμμα δ᾽ ἐν οὐρανοῖς εὐτρεπίζοντας ἀγγέλους τῷ βοῶντι· |: „Σῶσον ἡμᾶς, κύριε.“:|

book 29.69 Ἄνω ἐν θρόνῳ ἀστέκτῳ ὁ Χριστὸς ἐποχούμενος τῷ παιδὶ χεῖρα ὀρέγει· [para]ὁ δὲ ἀσεβέστατος ἐτρύχετο, πῶς κολάσει τὸν μάρτυρα· ὑπὸ οὖν τοῦ Σατὰν ἐμπνευσθεὶς τήγανον ἔφη προσάγεσθαι, [para]ὃ μολύβδου καὶ πίσσης ἐνέπλησεν ἐκπυρώσας ὑπεράγαν· ἐν τούτῳ ἐρεῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βληθῆναι αὐτόν· ὃ ἐπράχθη παρευθύς· [para]ἀλλὰ νεύματι θεοῦ ἐλυτρώθη παραδόξως καὶ ἐβόα· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 30.69 Λαβὼν ὁ πλάνος τὸν νέον τῷ βυθῷ κατηκόντισε· καὶ ἐκεῖσε διεσώθη· [para]τοῦτο γνοὺς ὁ πάνδεινος τὸν εὐθαρσῆ τοῖς θηρίοις παρέβαλεν· ὡς ἄρνες δὲ ὤφθησαν αὐτῷ· ἀναιρεῖ ταῦτα ὁ ἄνομος, [para]καὶ τροχὸν ἐπιτρέπει παμμεγέθη, πολυποίκιλον γενέσθαι· ἐν τούτῳ εὐθὺς δεσμεύει αὐτόν· ὤλεσε δὲ ὁ τροχὸς [para]τῶν Ἑλλήνων ἱκανούς· ἀβλαβὴς δὲ ἐφυλάχθη ὁ πρεσβεύων· |:„Σῶσον ἡμᾶς, κύριε‘.:|

book 31.69 Μὴ ἰσχύσας τρῶσαι βασάνοις ὁ ἀλάστωρ τὸν ἄμεμπτον, μετεστείλατο πανούργως [para]τὸν σεπτὸν πρεσβύτερον Ἑρμόλαον καὶ τοὺς τούτου συναίμονας Ἕρμιππον καὶ Ἑρμοκράτιον· οὓς ἰδὼν τούτους ἠνάγκαζε· [para]„Συμβουλεύσασθε,“ λέγων, „θῦσαι σὺν ὑμῖν Παντολέοντα ἀρτίως.“ οἱ δὲ πρὸς αὐτόν· „Οὐδεὶς ἐξ ἡμῶν ἀπαρνεῖται τὸν Χριστόν·“ [para]κτείνει οὖν τούτους εὐθύς, καὶ πληρώσαντες τὸν δρόμον ἐκβοῶσι·

book 31.69 |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 32.69 Οἱ τρισμακάριοι οὗτοι τῶν στεφάνων ἐπέτυχον· ὁ δὲ ἄδικος αὐτίκα [para]ἐκτιμηθῆναι ἔταξε τὸν δίκαιον καὶ πυρὶ παραδίδοσθαι· ταῦτα 〈δὲ〉 γέγονεν ἅπαντα τῷ σεπτῷ Πανταλεήμονι [para]ἐν τῇ Νικομηδαίων, ἄνακτος ὄντος Μαξιμιάνου ⟦τοῦ⟧ αἱμοβόρου· ὁ οὖν ἀθλητὴς σὺν τοῖς μετ’ αὐτοῦ μαρτυρήσας ἐν τῇ γῇ [para]μετ’ ἀγγέλων οὐρανοῦ κελαδεῖ ἅγιον ᾆσμα ἀσιγήτως· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 33.69 Συμφώνως ᾄσωμεν πάντες τῷ τῶν ἄγγελων πρύτανει Ἰησοῦ τῷ πρὸ αἰώνων [para]τῷ τὴν γῆν ἑδράσαντι καὶ ἄνθρωπον κατ’ εἰκόνα ποιήσαντι· θέλων γὰρ σῶσαι τὸν ἄνθρωπον μὴ τραπεὶς γέγονεν ἄνθρωπος, [para]τεχθεὶς ἐκ τῆς παρθένου ἄνευ σπορᾶς τῆς κυρίως θεοτόκου· πτωχεύσας ἑκὼν παρέσχεν ἡμῖν βασιλείαν οὐρανῶν, [para]ἧς σπουδάσωμεν τυχεῖν ταῖς εὐχαῖς τοῦ ἀναργύρου ἐκβοῶντες· |:„Σῶσον ἡμᾶς, κύριε.“:|

book 1.70 Τὰ ἄνω ζητῶν, τοῖς ἄνω συναπτόμενος [para]καὶ ἅρμα πυρὸς τὸν στῦλον ἐργασάμενος, δι’ αὐτοῦ συνόμιλος τῶν ἀγγέλων γέγονας, ὅσιε, [para]σὺν αὐτοῖς Χριστῷ τῷ θεῷ |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 1.70 Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον ποία γλῶσσα ἀνθρώπων ἀνταρκέσει ποτὲ πρὸς ἔπαινον ἐξηγήσασθαι; ὅμως ὑμνήσω θεοῦ σοφίαν, τὰ τοῦ ἥρωος ἆθλα καὶ τοὺς ἀγῶνας τοῦ ἐν τῇ γῇ ὡς φωστῆρος φανέντος τοῖς πᾶσι βροτοῖς, μεγάλως τῇ καρτερίᾳ τῷ χορῷ τῶν ἀγγέλων ἐκλάμψαντος· σὺν τούτοις ⟦γὰρ⟧ ψάλλων ἀπαύστως Χριστῷ ἐγκρατείαν, ἁγνείαν ἐκτήσατο |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 2.70 Ἄνωθεν ἔχων τὴν θείαν χάριν καὶ οὐράνιον δόξαν τὴν δοθεῖσαν αὐτῷ ἀπὸ κοιλίας μητρός αὐτου οὗτος ἀκμάσας τῇ ἡλικίᾳ ἐκαρτέρει ἀπαύστως τῇ ἐκκλησίᾳ πίστει δεκτῇ ἐπακούσας εὐρύθμως τῶν θείων γραφῶν· ἀμέμπτῳ διδασκαλίᾳ ἐκ θεοῦ ὁ σοφὸς κυβερνώμενος ὁδῷ εὐθείᾳ πορεύεται καὶ λιμένα γαλήνης κατέλαβεν |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 3.70 Ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ὑπερζέσας τῇ πίστει κραταιοῦται ψυχῇ καταφρονῶν τῶν προσκαίρων λοιπόν· βίον ἀκτήμονα γὰρ ποθήσας τὸν ἀβέβαιον βίον καταλιμπάνει· λαθραῖον ἦν τοῖς γονεῦσι τὸ δρᾶμα τοῦ γόνου αὐτῶν, παντῇ δὲ ἐξερευνώντων οὐχ ἑώρακαν ἔτι τὸν φίλτατον· πηγὰς δακρύων ἐκφέροντες τὸ ἐγκάρδιον πῦρ οὐκ ἀπέσβεσαν |:πρεσβεῦον ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 4.70 Τὸν κοσμικὸν ἀπέδυ χιτῶνα· ἐναγώνιον ἆθλον ἐκτελῶν ὁ σοφὸς στολὴν τριχίνην ἐνδύεται, σάρκα τοῖς πόνοις καταδαμάζων, ἐνειλήσας αὐτὴν ⟦τῷ⟧ ἀσήπτῳ σχοινίῳ· ἄδηλον ἦν τὸ πραχθέν τε μυστήριον τοῖς ἀδελφοῖς· κρυφίως τοῦτο τελέσας ἀλγηδόνας προθύμως ὑπέφερε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πιστῶς τοῦ πλάστου δεόμενος ἀσκανδάλιστος μεῖναι καὶ ἄμεμπτος |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 5.70 Ἤισθετο τοῦτο εἷς τῶν σὺν τούτῳ· κινηθεὶς δὲ τῷ φθόνῳ ὑπὸ τοῦ δολεροῦ τῷ ἡγουμένῳ ἐβόησεν· „Ἔγνωκα ἕνα ἐνταῦθα, πάτερ, ἀλλοιοῦντα κανόνα τῆς ποίμνης ὅλης· τάχιον οὖν διασκέδασον τοῦτον τῆς μάνδρας ἡμῶν· βαρὺς γάρ ἐστι τοῖς πᾶσι, δυσπαράδεκτος πᾶσι καὶ ἄσιτος, τροφὴν πεινῶσι δωρούμενος, δυνατὸς δὲ αὐτὸς ἐγκρατεύεσθαι |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.“:|

book 6.70 Ἦλθε δρομαίως ἐπὶ τὸν τόπον καὶ κατεῖδε τὸν ἄνδρα καὶ τὴν κοίτην αὐτοῦ μεστὴν σκωλήκων, ὡς γέγραπται· μείνας οὖν ἔκθαμβος αἰφνιδίως ἐκδυθῆναι τὸν ὅσιον ἐπιτρέπει· ὅνπερ γυμνὸν ἀτενίσας ἐξέστη ἐν φόβῳ δεινῷ τὰ ἕλκη βλέπων ἐν τούτῳ, τὴν φρικώδη πληγὴν καὶ ἀνίατον ὀσμὴν δυσώδη ἐκπέμπουσαν· ἐνοδύνως γὰρ ἦν ὀδυνώμενος |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 7.70 Ὡς δὲ τὴν σάρκα τὴν νεκρωθεῖσαν ἀποτέμνουσι ξίφει ἐκ τῶν σπλάγχνων αὐτοῦ σὺν τῷ σχοινίῳ τῷ ἔνδοθεν, φέρει προθύμως τὰς ἀλγηδόνας ὡς ὁ μέγας Ἰὼβ ἐπὶ τῇ κοπρίᾳ· ἄδηλον οὖν ἀμφοτέροις ἀπέβη τὸ δρᾶμα φρικτῶς· ὁ μὲν γὰρ οὐκ ἠβουλήθη, Συμεὼν δὲ αὐτὸς ἐπεθύμησε· γυμναῖς παλάμαις ὁ ἱερὸς τοῦ ἀσάρκου τὴν πλάνην ἐνίκησε |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 8.70 Δύο εἰκόνων μίαν στορίαν τῶν ἀγώνων ἐκείνων τῶν τερπνῶν καὶ φαιδρῶν αὐτοῖς τοῖς ἔργοις κατίδωμεν· πρὶν ὁ Ἰὼβ ἐν πληγῇ ὑπάρχων ὠνειδίσθη ἐν γλώσσῃ τῶν βασιλέων· νῦν Συμεὼν ἐδιώχθη ἐν φθόνῳ τῆς ποίμνης αὐτοῦ· παντῇ γὰρ πέφυκε τοῦτο· ἐκπεσὼν δυνατὸς μυκτηρίζεται, πτωχὸς καὶ πένης διώκεται ὑπὸ τῶν μὴ εἰδότων τὸν κύριον |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 9.70 Ἦλθε δακρύων ἐν τῇ ἐρήμῳ ἐπὶ ἄνυδρον φρέαρ διωχθεὶς ὁ σοφὸς καὶ τούτου ἔνδον κατέρχεται ἄλγεσι σώματος εἰς ὀδύνας, ἀμφοτέροις τοῖς μέλεσι τετρωμένος· ἦν δὲ ἐκεῖ κατοικία δεινῶν ἑρπετῶν καὶ θηρῶν, καὶ κοίτῃ γόνων ἀσπίδων κατοικεῖν ὁ σεπτὸς κατεδέξατο Ἠλία ζῆλον μιμούμενος· ἀφανὴς καὶ φιλέρημος γέγονε |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 10.70 Τότε ἐφάνη μεσονυκτίῳ τῷ κρατοῦντι τὴν ποίμνην ἐτασμῷ φοβερῷ ἐν ὀπτασίᾳ ὁ κύριος φόβῳ ἀθρόῳ φρικώδει λίαν μετὰ πλήθους ἀγγέλων καὶ φαντασίας· τὸν Συμεὼν ἐκζητῶν ὁ σωτὴρ τῷ ποιμένι βοᾷ· „Ποῦ ἔστιν ὁ ἐκλεκτός μου, ὃς ἐν κρίσει δεινῇ κατακρίνεται; πιστὸς ὑπάρχων καὶ ἄμεμπτος ἀναλάμψει εἰς φῶς ἐν τῇ δόξῃ μου |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ὑμῶν.“:|

book 11.70 Ὄρθρου ἠγέρθη ἀπὸ τοῦ ὕπνου ἐναγώνιος σφόδρα ἐκβοῶν τοῖς αὐτοῦ τῆς ὀπτασίας τὴν ὅρασιν. πάντας οὖν τάχος ἐξαποστέλλει ἐκζητῆσαι τὸν ὅσιον κατὰ τόπον· οἳ καὶ σπουδῇ περιῆλθον τὰ ὄρη ἁπάσης τῆς γῆς· ἐρήμους καὶ ἀοικήτους ἐκδραμόντες αὐτὸν ἐξηρεύνησαν· παντῇ τὰ πάντα ζητήσαντες ἐν τῷ τόπῳ ἐκείνῳ ἐπέστησαν |:ἐν ᾧ ἦν πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.:|

book 12.70 Ὑπὸ τοῦ πνεύματος ἐπιγνόντες εἰς τὸ φρέαρ κατῆλθον καὶ ἀνῆγον αὐτόν, ὃν πρώην φθόνῳ ἐδίωξαν· ἕλκοντες βίᾳ θυμοῦ ἀμέτρου ὡς κακοῦργον ἀπάγουσι τῷ κρατοῦντι· ὃν κατιδὼν αὐθαιρέτως ἐν πίστει προσπίπτει αὐτῷ δακρύων ὄμβρους ἐκφέρων, ἐκζητῶν παρ’ αὐτοῦ τὴν συγχώρησιν ὡς δὴ πραότητι φέρεσθαι ἐν καρδίᾳ δεκτῇ καὶ πρὸς κύριον |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 13.70 Ἔφη πρὸς ταῦτα τῷ δεομένῳ δακρυχέων ἀπαύστως καὶ βοῶν πρὸς αὐτὸν ὡς οἶμαι ταῦτα τὰ ῥήματα· „Ἵλεως, πάτερ, τῷ κατακρίτῳ σὺ συγχώρησον· ἄνες τῷ πνεύματί μου· στένω πικρῶς ἀτελείωτον δρόμον τελέσας ἐγώ· ἠρξάμην, μήπω τελέσας ἀγρευθεὶς ὑφ’ ὑμῶν καταβέβλημαι·

πιστῶς δὲ μᾶλλον προσεύχομαι ἀσκανδάλιστος μεῖναι καὶ ἄσειστος |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.“:|

book 14.70 Λόγους ἐπαίνων λίαν ἀκούσας λυπηρῶς ἐπανῆλθεν ἐν τῷ τόπῳ αὐτοῦ ὁ πρᾶος καὶ τρισμακάριστος ὅλον τὸ σῶμα δουλαγωγήσας καὶ τὸ πνεῦμα τῷ κτίστῃ καθιερώσας· χρόνοις τρισὶ διαμείνας τῷ τόπῳ ἐκείνῳ πιστῶς λαθραίως ἀποδιδράσκει καὶ προθύμως ἐπέστη εἰς ἔρημον· θεοῦ προνοίᾳ καλούμενος εὐχαρίστως δοξάζει τὸν κύριον |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 15.70 Ἅμα ηὐλίσθη ἐν τῇ ἐρήμῳ, ᾠκοδόμησεν οἶκον ὡς ποτὲ Ἀβραὰμ τῷ πλάστῃ θυσιαστήριον· φεύγων τὸν βίον καθάπερ βίαν ἐν τῷ τόπῳ ἐκείνῳ κατεμονάσθη· σώζεται δὲ ὡς δορκὰς ἐκφυγοῦσα ἐκ βρόχων δεινῶν, ἢ ὥσπερ ὄρνεον θήρας ἢ στρουθίον παγίδος λυτρούμενον κρημνοὺς περάσας καὶ ὄρεα ἀπλανῶς ὁ σοφὸς κυβερνώμενος |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 16.70 Χάριν μεγάλην καθωπλισμένος εὐηρέστησε πίστει ὡς Ἐνὼχ τῷ θεῷ προσφέρων ὁλοκαυτώματα· οὗτος τὸν Δανιὴλ ἐκμιμεῖται προσευχῇ καὶ νηστείᾳ ὑμνῶν τὸν πλάστην χρόνον πολὺν ὑποφέρων χειμέριον κρύος δεινόν, κρυστάλλου πάγος καὶ ψῦχος καὶ καιρὸν θερισμοῦ ἐν τῷ καύσωνι φλογὶ ἡλίου καιόμενος, ὑετῷ καὶ ἀνέμῳ κλονούμενος, |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 17.70 ΕΙδον οἱ ἔγγιστα καὶ οἱ πόρρω τὸν πανόλβιον τοῦτον ἐν νηστείᾳ πολλῇ, καὶ πάντες λίαν ἐθαύμασαν ἔχοντα δύναμιν ἐνεργείας δωρεὰν ἰαμάτων ἐπουρανίων· νόσους δεινὰς ἀπελαύνων ὁ ὅσιος τῶν ἀσθενῶν ἰᾶτο τὰς ἀλγηδόνας, τῶν κρυφίων μελῶν τὸ κατώδυνον· τοὺς πόνους πάντων κατέπαυσεν, ὅτι πάντα αὐτῷ ὑπετάγησαν, |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 18.70 Στῦλον ἐγείρουσιν ὥσπερ στήλην καθιδρύοντες τοῦτον ἐν αὐτῷ ὑψηλῶς οἱ ὄχλοι πίστει φερόμενοι· βλέπει οὖν δόξαν τῶν ἐν ὑψίστοις τὸ στερέωμα ὅλον σὺν τῇ δυνάμει· οὕτω ποτὲ Ἰακὼβ τοὺς ἀγγέλους ἑώρα νυκτὸς ὑπάρχων ἐπὶ τὸ φρέαρ, ὡς ἐν κλίμακι βλέπων τὸν κύριον· αὐτὸν ὁ πλάστης εὐλόγησεν ὡς καὶ τοῦτον ἐν στύλῳ τὸν ὅσιον |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 19.70 Τότε ἡπλοῦτο ὅλῃ τῇ κτίσει ἡ πανεύφημος φήμη τοῦ ὁσίου ἀνδρὸς τῶν ἰαμάτων τοῖς θαύμασι· τούτου ἡ μήτηρ μαθοῦσα ταῦτα ἐπορεύθη τὰ πάντα καταλιποῦσα· ηὔχετο μὲν ἐκτενῶς θεωρῆσαι τὸν γόνον αὐτῆς, ποθοῦσα δὲ πυρπολεῖται καὶ ὁδοὺς ἀκαμάτους ἡγήσατο· ἐκ γῆς μακρόθεν βαδίζουσα ὡς δρομεὺς ταχινὸς παραγίνεται |:πρεσβείαν ποιοῦσα ὑπὲρ πάντων ἡμῶν.:|

book 20.70 Ὅτε οὖν ἦλθεν ἀπὸ περάτων καὶ κατεῖδε τὸ σέβας, ὅπου ἦν πιστὸς εὐθέως ἀνεζωπύρισε σπεύδουσα θέαν ἰδέσθαι τούτου, ὃν ἀγκάλαις τὸ πρῶτον ἐδορυφόρει· τότε σοφῶς ἀπεκλείσθη ἡ θύρα τοῦ στύλου αὐτῇ, καθότι οὐ παρεχώρει θεαθῆναι αὐτῇ ὁ πανόλβιος· πληγῇ τὰ σπλάγχνα ἐκθλίψας αὐτῆς οὐδὲ ὅλως ὀφθῆναι ἠθέλησε |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 21.70 Ὑπὸ τοῦ πόθου ἀκατασχέτως διεφλέγετο αὕτη τὴν καρδίαν αὐτῆς καὶ ταῦτα οὕτως ἐβόησε· „Χρόνων τοσούτων παραδραμόντων ἀθρηνῴδητος ὥραν οὐκ ἐπαυσάμην· νῦν δέ, υἱέ, ὡς ἐκ τάφου παρόντα θεάσομαι σέ· μὴ φλέξῃς τὴν τετρωμένην· τοῦ πατρός σου θανέντος σὲ ὄψομαι· στολὴν χρείας μου πρόσεχε καὶ μαστούς, οὓς αὐτὸς ἐγαλούχησας, |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.“:|

book 22.70 Ῥήματα δὲ τοιαῦτα βοώσης ὁ θεράπων Ἀντώνιος ἔφη πρὸς ταύτην τὰ τοῦ ὁσίου προστάγματα· „Παῦσον, ὦ μῆτερ, τῶν ὀδυρμῶν σου, καὶ τῷ μέλλοντι αἰῶνι ὀφθήσομαί σοι.“ αὕτη εὐθὺς λυσικόμους πλοκάμους γυμνοῖ ἑαυτῆς πικρώδει κλαίουσα θρήνῳ, τὸν πενθήρη χιτῶνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σπαράττουσα· παλάμας στήθει κροτήσασα κραταιῶς τὴν καρδίαν ἐτρύχετο |:πρεσβεύοντος τούτου ὑπὲρ πάντων ἡμῶν.:|

book 23.70 Ὡς ἐκ τοῦ πνεύματος τοῦ ἁγίου τὸ μυστήριον ἔγνω· ἀντεδήλου αὐτῇ· „Τὴν λύπην θραῦσον καὶ πρόσευξαι, ὅπως ὀφθήσομαι σοὶ εὐθέως“ καὶ δραμοῦσα προσεύχετο ἐπ’ ἐδάφους· αὕτη σαφῶς προσδοκῶσα ἰδέσθαι πληροῦται χαρᾶς· ἀφάτῳ κηδεμονίᾳ ὑπερζέουσα πόθῳ ἀπέθανεν, ὁδοὺς κρημνώδεις βαδίσασα καὶ ἐλθοῦσα οὐκ εἶδεν, ὃν ἔτεκεν, |:πρεσβεύοντος τούτου ὑπὲρ πάντων ἡμῶν.:|

book 24.70 Μή τις οὖν τοῦτον τὸν θεῖον ἄνδρα ἄσπλαγχνον ὑποπτεύσῃ, ἀλλὰ ὅτι Χριστοῦ οὐδὲν ποτὲ προετίμησε· ἐπευξαμένου γὰρ ὑπὲρ ταύτης ἐδονήθη τὸ λείψανον μειδιᾶσαν· φόβῳ πολλῷ οἱ ἑστῶτες συνείχοντο κύκλῳ αὐτῆς ὁρῶντες ὑπογελῶσαν τοῦ υἱοῦ ἐπ’ αὐτὴν ἀτενίζοντος· πιστῶς οὖν ταύτην κηδεύσαντες ἐν τῷ τόπῳ ἐκείνῳ κατέθεντο, |:ἐν ᾧ ἦν πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.:|

book 25.70 Ἅπαντες ἤρχοντο ἐπὶ τοῦτον οἱ ἐν νόσοις ποικίλοις καὶ πνεύμασι δεινοῖς τὴν λύτρωσιν ἐξαιτούμενοι· οὗτοι συνήντησαν ἐν ταῖς νάπαις ἀποφεύγουσαν ἔλαφον ἐκ παγίδος· ταύτην φρικτῶς ἀνορκοῦσι τὸ ὄνομα τοῦ Συμεών, καὶ φόβῳ αὕτη ἐπέστη· ἣν κρατήσαντες τάχος κατέσφαξαν· αὐτῇ τῇ βρώσει τιτρώσκονται, ἕως ταύτην τῷ στύλῳ ἱστόρησαν, |:ἐν ᾧ ἦν πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.:|

book 26.70 Νόσον κρυφίαν ἔχουσα κόρη ἐκκαυθεῖσα ἐκ δίψης ὑδρευθεῖσα νυκτὸς γονὴν ἐχίδνης κατέπιε· σύντροφον εἶχε τὸν ἰοβόλον ἀοράτως ἐκτρέφουσα τὸ θηρίον· ἥτις ἀεὶ ἐσπαράττετο πᾶσαν ἡμέραν δεινῶς· βασάνοις μαστιγουμένη τὸν σεβάσμιον τόπον κατέλαβεν κἀκεῖ τὸν δόλιον ἤμεσεν, ὃν εὐχῇ ὁ πιστὸς διεσπάραξε |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 27.70 Ὅτε οὖν εἶδεν ὁ θηριώδης τὰ ἀνίατα πάθη ἰαθέντα ἐκεῖ θυμῷ ἀμέτρῳ ταράττεται· πάθος ἐνδόσθιον ἀναδείξας εἰς τὸ σῶμα τοῦ ἥρωος ὁ πανώλης ἕλκει δεινῷ ἀπευκταίῳ σκωλήκων ἀμπλήσας αὐτό· αὐτὸς δὲ τῇ καρτερίᾳ τὰς ὀδύνας προθύμως ὑπέφερε καὶ τούτῳ μᾶλλον προσηύχετο γενναιότερος εἶναι τὴν ἄθλησιν |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book 28.70 Ὕπνωσεν ὕπνον ἐν εὐφροσύνῃ ὁ μακάριος οὗτος τοῦ Χριστοῦ ἀθλητὴς ἀγγέλοις συναγαλλόμενος· τοῦτον καθεῖλεν ἀπὸ τοῦ στύλου Ἀρδαβούριος ἔνδοξος σὺν τῷ πλήθει ἄνακτος μὲν βασιλεύοντος Λέοντος τοῦ εὐσεβοῦς κηδεύσας ἐπὶ Καροῦχαν· οὐρανὸς δὲ καὶ γῆ ἐπηυφραίνοντο· πιστῶς δὲ τοῦτον κατέθεντο ἐν σορῷ τῆς τερπνῆς Θεουπόλεως |:πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.:|

book t.71 Νικηφόρον ἀθλητὴν τῷ ἀθανάτῳ δεσπότῃ, [para]στρατιώτην δυνατὸν τοῦ βασιλέως τῆς δόξης Δημήτριον οἱ πιστοὶ ἀνυμνήσωμεν λέγοντες· „Καλῶς καμὼν ἐκομίσω |:ζωὴν τὴν αἰώνιον.“:|

book 1.71 Τί τῶν σῶν ὑμνήσω, Δημήτριε μάρτυς; τὰ πρὸ τῶν ἀγώνων, [para]τὰ ἐν ἀγῶνι, τὰ μετὰ τοὺς ἀγῶνας σου; τρεῖς γὰρ ὁμοῦ ἐπαίνους χρεωστῶ σοι, [para]πρῶτον τὸν τῆς σεμνῆς σου πολιτείας, δεύτερον τὸν τῶν ἄθλων σου, τὸν δὲ τρίτον ὑπὲρ τῶν πολλῶν θαυμάτων ⟦σου⟧, [para]ὧν πρὶν ἐτέλεσας καὶ νῦν ἀπὸ τοῦ τάφου· ἰδοὺ γὰρ ἕκαστος πίστει προσερχόμενος [para]τῷ ζῶντι λειψάνῳ σου τρυγᾷ ὡς ἐκ παραδείσου |:ζωὴν τὴν αἰώνιον.:|

book 2.71 Ὅσοι οὖν καὶ ὅσαι ἠκούσατε ὅτι χρεώστης ὑπάρχω, [para]δεῦτε διότι σήμερον ἀποδίδωμι οὐ τῶν ἐμῶν, ἀλλὰ τῶν τοῦ ἁγίου· τὰ γὰρ αὐτοῦ αὐτῷ προσαναφέρω ἀπὸ τῶν θησαυρῶν αὐτοῦ· ἐπειδὴ ἐγὼ πτωχός εἰμι καὶ πένης· [para]οὐκοῦν σχολάσατε κλίναντες μοι τὰ ὦτα· καὶ διηγήσομαι ἐκ τοῦ ὑπομνήματος [para]τὴν πάλην τοῦ μάρτυρος, ἥνπερ νικήσας λαμβάνει |:ζωὴν τὴν αἰώνιον.:|

book 3.71 Ὑπὸ τῶν μισούντων ἡμῶν τὴν θρησκείαν ὡς φίλος καὶ μάρτυς [para]τοῦ σταυρωθέντος ἐζητεῖτο ὁ ἅγιος· τοῦ μὲν ἐχθροῦ καθελὼν ἦν τὸ δόγμα [para]τῶν κατὰ τοῦ Χριστοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φρονούντων ἢ λαλούντων· ὅμως δὲ περισσότερον ἀνιχνεύετο Δημήτριος ὁ μέγας· [para]καὶ γὰρ ὠργίζοντο τούτῳ οἱ ἀσεβοῦντες, ὅτι συνήρχοντο πρὸς αὐτὸν οἱ θέλοντες [para]μαθεῖν τὰ οὐράνια, ἰδεῖν πῶς ἔστι κερδῆσαι |:ζωὴν τὴν αἰώνιον.:|

book 4.71 Ταῦτα γὰρ παρῄνει, τοιαῦτα κατήχει τοὺς συνερχομένους· [para]„Γεύσασθε“, λέγων, „ὅτι χρηστὸς ὁ κύριος· ὑπὸ γὰρ τῆς χρηστότητος ἐκάμφθη [para]καὶ ἐν γαστρὶ παρθένου ἐχωρήθη, ἥντινα διεφύλαξε μετὰ τόκον πάλιν ἁγνὴν παρθένον· [para]ὑπὸ χρηστότητος εἵλετο βαπτισθῆναι, ὑπὸ χρηστότητος ἔπαθεν, ἀπέθανε [para]καὶ κτείνας τὸν θάνατον θνητοὺς ἀνέστησε παρέχων |:ζωὴν τὴν αἰώνιον.“:|

book 5.71 Ἀλλὰ ταῦτα λέγων καὶ ἄξια πράττων ὧν ἔλεγε λόγων, [para]ἔλαμψε πᾶσι τοῖς ἐν σκότει ὡς ἥλιος· ὅθεν τινὲς τοῦ ζόφου ὑπηρέται [para]τὸν φαεινὸν ἐπῆλθον ψηλαφῶντες· „Ποῦ εἶ“, φησίν, „ὦ ἄνθρωπε; ἐτυφλώθημεν ζητοῦντες τὴν αὐγήν σου· [para]ὁ βασιλεὺς ἡμῶν Μαξιμιανὸς λέγει· ‚Εἰ θέλεις δεῖξαι μοι τὴν φαιδρὰν ἀκτῖνα σου, [para]ἐλθὲ καὶ καταύγασον ἡμᾶς, ἱνὰ ἴδωμεν |:ζωὴν τὴν αἰώνιον‘.“:|

book 6.71 Πρὸς τὴν εἰρωνείαν τῶν ὑποκριθέντων ὑπομειδιάσας [para]λέγει ὁ μάρτυς· „Ἔγνων, ἔγνων ὃ θέλετε· σβέσαι τὸ φῶς τῶν λόγων μου ζητεῖτε· [para]ἀλλὰ οὐδὲν ἐκ τούτου ὠφελεῖτε· ἔχω γὰρ τὸν ἐξάπτοντα, ὃν κατεῖδε Μωϋσῆς ἐπὶ τῆς βάτου, [para]τὸν θεῖον ἄνθρακα τὸν ἐπὶ Ἠσαΐου, τὸν χορηγήσαντα μαθηταῖς πυρὸς γλώσσας [para]ἀναζωπυροῦντα με· δι’ ὃν ἀστράπτων διδάσκω |:ζωὴν τὴν αἰώνιον.“:|

book 7.71 Ἐθυμοῦντο τότε οἱ τοῦ διαβόλου ἀκούοντες ταῦτα· [para]ὅθεν τὰς χεῖρας τῷ ἁγίῳ ἐπέβαλον, καὶ κατασχεῖν οἱ βέβηλοι ἐτόλμων [para]στόμα ἁγνὸν ἐν ᾧ θεὸς κατῴκει· εἷλκον δ’ αὐτὸν εὐχόμενον τῆς τοιαύτης κατοχῆς ἀξιωθῆναι [para]βοῶντες· „Ἄγωμεν νῦν ἐπὶ ⟦τὸν⟧ βασιλέα· ἐκεῖ ῥητόρευσον, εἴπερ ἔστι λόγος σοι· [para]ἐκεῖνον κατήχησον· εἰκὸς πεισθείς σοι λαμβάνει |:ζωὴν τὴν αἰώνιον.“:|

book 8.71 Ἱλαρὰν τὴν ὄψιν ὁ ἔνθεος εἶχεν ἐν τῷ συσχεθῆναι [para]καὶ τοῖς κρατοῦσιν ἔλεγεν ἀγαλλόμενος· „Τέως ὑμεῖς τοιχήσατέ μοι, φίλοι, [para]κἂν βουληθῇ ὁ ἄναξ ἐπιστρέψαι, ἕτερος Λὼτ γενήσεται καὶ ἐκφεύγει μεθ’ ὑμῶν τὸ πῦρ τὸ μέλλον· [para]σῴζοντες σώσατε ψυχὰς ὑμῶν, ὦ φίλοι, κἀκεῖνον ἄφετε· γένηται ἁλὸς στήλη [para]στραφεὶς πρὸς τὰ Σόδομα ὡς βδελυξάμενος πρώην |:ζωὴν τὴν αἰώνιον.“:|

book 9.71 „Νῦν ἡμῖν ἃ λέγεις ὡς λῆρος ἐφάνη, Δημήτριε, παῦσαι· [para]ταῦτα γὰρ πάντα λῆρον εἶναι νομίζομεν, ἐπειδὴ τοῖς τοῦ Ναζωραίου πᾶσιν ὡσεὶ ἀσπὶς κωφοί ἐσμεν τὰ ὦτα, ἥτις οὐκ εἰσακούσεται φαρμακεύοντος φωνὴν ἢ ἐπᾳδόντων· [para]νῦν οὖν μὴ κόμπαζε λόγους λόγοις συρράπτων· οὐ γὰρ πτοούμεθα οὔτε ἀνεχόμεθα [para]εἰπεῖν τὸν τοῦ τέκτονος θεὸν ὡς λέγεις διδοῦντα |:ζωὴν τὴν αἰώνιον.“:|

book 10.71 Ὅτε ταῦτα εἶπεν, ὠργίσθησαν πλέον καὶ βρύξαντες ἅμα [para]ἄλλος πρὸς ἄλλον συνωθοῦσι τὸν ἅγιον ὥστε αὐτὸν πίπτειν ἐπὶ ἐδάφους [para]καὶ κυλινδεῖσθαι ὑπὸ πόδας 〈τούτων〉 τῶν μιαιφόνων· τάχος δὲ ἀνίστατο ἐκ τῆς γῆς ὁ γενναῖος [para]καὶ ταχινότερα τῶν ἑλκόντων 〈–〉 〈–〉 ἔτρεχε 〈–〉 [para]βοῶν πρὸς τοὺς ἕλκοντας· „Ταχὺ σπουδάζω φθάσαι |:ζωὴν τὴν αἰώνιον.“:|

book 11.71 Ὑπηρέται ὄντες ἀνδρὸς ἀνημέρου ἀγρίως λαβόντες [para]εἷλκον τὸν πρᾶον ὡς ἀρνίον πιάσαντες· ὁ δὲ παθεῖν ἀπῄει ἐπὶ θήραν [para]τῶν ἑαυτοῦ εἰς βρῶσιν ἐκδιδούντων· θέα γὰρ αὐτῷ προὔκειτο, ἣν ὠνόμασαν τινὲς μονομαχίαν, [para]καὶ πρὶν τὸ στάδιον φθάσαι τὸν βασιλέα ὁ γενναιότατος μάρτυς προσεφέρετο [para]ὡς μέλλων μαχήσασθαι 〈〉 αὐτὸν καὶ λαμβάνειν |:ζωὴν τὴν αἰώνιον.:|

book 12.71

Ῥαθυμεῖ δὲ τότε τοῦ ἔργου ὁ ἄναξ, καὶ τοῦτο δὲ πάντως [para]πρᾶγμα ὑπῆρχε τοῦ μισοῦντος τοὺς μάρτυρας, ἵν’ ἀπὸ τῆς ἐκείνου ῥαθυμίας [para]οὗτος λοιπὸν τῆς τέχνης μὴ φροντίσῃ, μείνῃ δὲ ἀμελέστερος καὶ ἐξάπινα αὐτὸν κατατοξεύσῃ· ἀλλ’ οὐκ ἐξίσχυσε τοῦ πανούργου ἡ σκέψις· ὁ γὰρ Δημήτριος, καίπερ φυλαττόμενος, [para]μελέτην ἐποίησε πυγμῆς θανάτου ἁρπάσας |:ζωὴν τὴν αἰώνιον.:|

book 13.71 „Ὦ σωτήρ μου,“ λέγων, „ἰδοὺ ἡ ψυχή μου ἐντὸς ἐθερμάνθη [para]και̣ ἐ̣ν̣ τῇ μελέτῃ [μου] πῦρ τὸ σὸν ἐκκαυθήσεται· ὁ μὲν ἐχθρὸς πρὸς τὸ λουτρὸν φρουρεῖ με, [para]σὺ δὲ τῷ σῷ λουτρῷ συντήρησόν με· τούτου μὲν γὰρ ἐξέρχομαι, ἀλλ’ ἐκείνου δέ, σωτήρ μου, μὴ ἐξέλθω· [para]ἐν τούτῳ γένωμαι νῦν ἔτι μαρτυρῶν σοι, ὅπως κυρώσῃ μου τὸ λουτρὸν ὁ θάνατος, [para]καὶ ζήσω ἐν αἵματι, ὡς πρὶν ἐν ὕδατι εὗρον |:ζωὴν τὴν αἰώνιον.“:|

book 14.71 Μάτην γὰρ τοιαύτην παρεῖδεν ὁ ἄναξ τὴν πάλην τοῦ νέου· [para]ἤδη γὰρ οὗτος ἑαυτὸν ἐστεφάνωσε· πρὸ τῆς σφαγῆς ἐσφάγη διαθέσει, [para] 〈---〉 γέγονεν ὁ Δημήτριος ὁλοκαύτωμα καμίνου μὴ καείσης· [para]καὶ γὰρ πυρούμενον τὸ δημόσιον βλέπων αὐτὸς ἐξήπτετο πλέον πρὸς τὴν ἄθλησιν [para]βοῶν τοῖς φυλάττουσι· „Νῦν τί κωλύομαι φθάσαι |:ζωὴν τὴν αἰώνιον;“:|

book 15.71 Ἀπὸ τοῦ σταδίου κατῆλθεν ὁ ἄναξ, ὡς λέγει ἡ βίβλος, [para]πάνυ στυγνάσας ὡς οὐχὶ προσεδόκησεν· ὅθεν αὐτὸν τινῶν ὑποβαλόντων [para]τὸν ἀθλητὴν Δημήτριον ⟦ἀπ⟧ὀλέσαι τότε οἰωνισάμενος ἀνεβόησε δριμὺ τοῖς ὑπηρέταις· [para]„Ἀκμὴν γὰρ ἔχετε τῶν κακῶν μου κληδόνα; οὐχὶ ἠρκέσθητε τούτοις οἷς ὑπέμεινα [para]ἀλλ’ ἔτι φυλάττεται καὶ ζῇ ὁ λέγων μοι· ‚Γνῶθι |:ζωὴν τὴν αἰώνιον‘;:|

book 16.71 Νῦν οὖν ἀπολέσθω καὶ ἀπαλλαξάτω ἐμὲ καὶ 〈τὴν〉 γῆν μου [para]τῆς συντυχίας 〈τῆσ〉 κακῆς αὐτοῦ γνώσεως.“ ταῦτα εἰπὼν ὁ πλάνος ἀνεχώρει· [para]ὁ δ’ ἀθλητὴς ἐκτάνθη παραυτίκα λόγχαις κατατεμνόμενος καὶ βοῶν πρὸς Ἰησοῦν παρρησίᾳ· [para]„Διὰ τὸ σῶμα σου ⟦τοῦ⟧ βουλήσει σταυρωθέντος, οὗ ἐξεκέντησαν λόγχῃ οἱ παράνομοι, [para]ἐγὼ λογχιάζομαι πιεῖν, 〈Χριστέ〉, τῆς πλευρᾶς σου |:ζωὴν τὴν αἰώνιον.“:|

book 17.71 Ὅτε ταῦτα εἶπεν ὁ τέλειος μάρτυς ἀφῆκε τὸ πνεῦμα [para]ὥσπερ τὸ σῶμα, ὅπου ἦν φυλαττόμενον, τὴν δὲ ψυχὴν σὺν ταῖς τῶν ἀθλοφόρων [para]ἐν τῇ χειρὶ θεὸς λαβὼν κατέχει. οὔτε γὰρ μετεμψύχωται, καθὼς λέγουσι τινὲς τῶν Μανιχαίων, [para]οὐ μεταβέβληται ὡς θηρίου ἢ κτήνους· ἐπειδὴ ἥνωται θείῳ ἐν φυσήματι [para]καὶ γένος ἐγένετο θεοῦ τοῦ πᾶσι διδόντος |:ζωὴν τὴν αἰώνιον.:|

book 18.71 Ὑπὸ τῶν φρονούντων τὰ τοῦ Μανιχαίου μαθεῖν ἠβουλόμην, [para]τί Μανιχαῖος μετὰ θάνατον ἐγένετο· ὅτι γὰρ πρὶν ὡς ὄνος ἐξεδάρη, [para]τοῦτο ἐγὼ ἀνέγνων καὶ ἐπέγνων· εἴτε οὖν μετεμψύχωται, ἄρτι κάμηλος ἐστὶ πρὸς τὴν ἀξίαν· [para]εἰ δὲ καὶ ἔλαχε τοῦτον ἵππον γενέσθαι, τῷ μύλῳ δέδετο διὰ τὸ ἀξίωμα· [para]ὢ δόγμα πανάθλιον, μένον τυφλὸν καὶ μὴ βλέπον |:ζωὴν τὴν αἰώνιον.:|

book 19.71 Ἀλλ’ ἡμεῖς ὁρῶντες μὴ συντυφλωθῶμεν τοῖς πεπηρωμένοις [para]λέγοντες ὥσπερ οἱ ⟦τοῦ⟧ Μανέντος διδάσκουσιν· οὐ γὰρ καλὸν τοιούτοις δευτεροῦσθαι, οὐδὲ χρηστὸν πρὸς ταῦτα ἀσχολεῖσθαι, μήποτε τινὰς βλάψωμεν· τίς γὰρ ἅπτεται πυρὸς καὶ οὐκ ἀδικεῖται; [para]αὐτὸ τὸ ὄνομα βλάβης γέμει μεστόν· Μανῆς γὰρ λέγεται καὶ δικαίως κέκληται· [para]μανεὶς γὰρ ἐλάλησε, μανεὶς ἀπώλεσε θέλων |:ζωὴν τὴν αἰώνιον.:|

book 20.71 Ἱσταμένων ἥμων ἐν ταύτῃ τῇ πέτρᾳ τῆς πίστεως, Πέτρον [para]βλέπετε, φίλοι, μήπως ἐξολισθήσωμεν· λέγουσι γὰρ ὑμῖν οἱ ἀπατῶντες, [para]ὅτι ⟦ὁ⟧ Μανῆς ἀπόστολος ὑπάρχει· δοῦλος δὲ ἦν ὁ πάνδεινος ὅς που καὶ ἐν τῇ Περσίδι ἀπεγράφη· [para]διὸ Μανῆν αὐτὸν

ἐπωνόμασε τότε, ὃν μὴ δεξάμενοι Πέρσαι ἀπεξέδειραν [para]οὐχὶ ὡς ἀπόστολον, ἀλλ' ὡς ἀεὶ βλασφημοῦντα |:ζωὴν τὴν αἰώνιον.:|

book 21.71 Νῦν οὖν γνόντες ταῦτα μὴ ἀπατηθῶμεν πιστεύοντες ὅτι [para]ὁ Μανιχαῖος τοῦ Χριστοῦ ἦν ἀπόστολος· οὐ γὰρ ἐν τοῖς καιροῖς Χριστοῦ ὑπῆρχεν, [para]ἀλλ' ἀπεχθὲς καὶ σήμερον ἐφάνη· ὅντινα ἀπεδίωξεν ὁ Ἀρχέλαος ἐπίσκοπος 〈Κασκάρασ〉 · [para]διαλεχθεὶς αὐτῷ καὶ ἐρίσας γενναίως καὶ δείξας ἅπασι τὴν αὐτοῦ ἀσέβειαν [para]πιστοῖς ἀνεβόησεν· „Ἰδοὺ Μανῆς ὁ μισήσας |:ζωὴν τὴν αἰώνιον.“:|

book 22.71 Οὗτος μὲν ᾐσχύνθη, ἡμεῖς δὲ σωθῶμεν ἐκ πάσης αἰσχύνης [para]ταῖς τοῦ ἁγίου Δημητρίου δεήσεσιν, οὗ εἰς τιμὴν ἐξεβιάσατέ με [para]ὕμνον εἰπεῖν οὐκ ἄξιον 〈μὲν〉 τούτου, τῆς δὲ ἀπαιδευσίας μου ἰσοδύναμον καὶ ἄξιον ἐν πᾶσιν· ἀλλ' ὁ πανεύφημος 〈μάρτυσ〉 οἶδεν συγγνῶναι τῷ ἐγχειρίσαντι καὶ τοῖς ἀπαιτήσασι [para]καὶ δοῦναι τὸν ἄξιον μισθὸν ἡμῖν 〈ὡσ〉 καὶ πᾶσι, |:ζωὴν τὴν αἰώνιον.:|

book 23.71 Σὺ οὖν, ἀθλοφόρε, ἀεὶ νικηφόρε, καὶ στεφανηφόρε [para]καὶ κατὰ πάντα θεοφόρε Δημήτριε, δὸς τῇ πιστῇ καὶ φιλοχρίστῳ ποίμνῃ ⟦σου⟧ [para]ἐπανελθεῖν εἰς τὴν τιμὴν τὴν πρώτην· γένηται ὡς ἐγένετο διὰ τῶν εὐχῶν καὶ τῶν σῶν ἱκεσίων· [para]τὰ τέκνα ὕψωσον πλείω τῶν γεννησάντων, ἵν' οἱ γεννήσαντες σχῶσι γέρας τίμιον, [para]κἀγὼ ὁ ταλαίπωρος ἀνθ' ὧν προσῆξα σοι λόγων |:ζωὴν τὴν αἰώνιον.:|

book 1.72 Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων [para]ἐφαπλοῦσθε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, [para]ἰατροὶ θαυματουργοὶ ἔνδοξοι· ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει καὶ τῶν πολεμίων τὰ θράση κατεπαύσατε |:τὸν κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.:|

book 1.72 Πάσης συνέσεως καὶ σοφίας ὑπερκεῖται ὁ λόγος τῶν σοφῶν ἰατρῶν καὶ πᾶσι ῥῶσιν παρέχεται· τοῦ γὰρ ὑψίστου χάριν λαβόντες ἀοράτως τὴν ῥῶσιν δωροῦνται πᾶσιν· ὅθεν κἀμοὶ διηγήσεως χάριν δεδώρηνται ὑμνῆσαι ὡς θεοφόρους ἐναρέτους Χριστοῦ καὶ θεράποντας, ἰαμάτων πλήθη παρέχοντας· ἀλγεινῶν γὰρ παντοίων λυτρούμενοι |:τὸν κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.:|

book 2.72 Ὅλης φωστῆρες τῆς οἰκουμένης ἀνεδείχθησαν οὗτοι παρεστῶτες ἀεὶ καὶ ἀσθενοῦσι συμπάσχοντες· ἐκ τοῦ ὑψίστου χάριν λαβόντες ἰαμάτων τὸ πλῆθος δωροῦνται πᾶσι, τοῖς ἐν κρυπτοῖς ἀρρωστήμασι ⟦καὶ⟧ πόνοις συμπάσχοντες· καθάπερ ἡ κολυμβήθρα Σιλωὰμ τοὺς ἐν πίστει ἐκάθαιρεν, καὶ οὗτοι πίστει φερόμενοι καὶ τὸν ἔμψυχον ῥύπον ἐκπλύνοντες, |:τὸν κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.:|

book 3.72 Ἵλεως πᾶσι φιλανθρωπία τῆς γνησίας ἀγάπης ἐν τῷ βίῳ σαφῶς τῆς ἀδελφότητος ἥπλωτο· φίλοι γὰρ πέλοντες τοῦ νυμφίου, μιμηταὶ τοῦ δοτῆρος τῶν ἰαμάτων, ἄγρυπνον νοῦν κεκτημένοι, τοῖς πᾶσι συνέπασχον, τὰ πάντα πᾶσιν ὑπῆρχον· ἀφιλάργυρον τρόπον κτησάμενοι εἰς πάντα τόπον δοξάζονται, τοῖς θνητοῖς βοηθεῖν οὐ παυόμενοι, |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 4.72 Ἥπλωτο γὰρ εἰς πάντας ἀνθρώπους δωρεὰ ἡ ἐξ ὕψους ὡς πηγὴ καθαρὰ διὰ Χριστοῦ τοῦ θεοῦ ἡμων. τὸ εὐσεβεῖν γὰρ ἀεὶ εἰδότες, συνεπάθουν δικαίως τοῖς ἐν ἀνάγκαις, ἵνα σωθῇ δι' αὐτῶν πᾶς ὁ κόσμος φθορᾶς χαλεπῆς καὶ ζάλης τῆς ἐν τῷ βίῳ καὶ κυμάτων ἐκφύγῃ τὸ πέλαγος· γαλήνης λιμένες πέλοντες, τοὺς προστρέχοντας νόσων λυτρούμενοι, |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 5.72 Μέγας ὁ κύριος ὁ φωτίζων τοὺς δικαίους καὶ κλέος ὁ διδοὺς τοῖς πιστοῖς καὶ βασιλείαν αἰώνιον. ἐν ὁμονοίᾳ γὰρ ἐν τῷ βίῳ καὶ ὁμόψυχοι πέλοντες τῇ καρδίᾳ τὴν εἰς Χριστὸν ἐβεβαίωσαν πίστιν φυλάξαντες· τοὺς τρόπους τοὺς φιληδόνους καὶ σωμάτων τὰ πάθη νικήσαντες ἀφθάρτους στέφανους ἔχουσι καὶ θνητοῖς ἰατροὶ ἀνεδείχθησαν |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 6.72 Ἅγιοι ἄξιοι τοῦ νυμφῶνος καὶ τῆς ῥώσεως πάντων, οἱ τῷ κόσμῳ παντὶ παρέχοντες τὰ χαρίσματα ἔργοις καὶ λόγοις, θεοῦ προνοίᾳ δωρεὰς καταπέμποντες ἀοράτως· τούτων ἡμεῖς οἱ ἐν βίῳ θνητοὶ νῦν ποθοῦντες τυχεῖν κἀκεῖσε τοῖς αἰωνίοις ἀγαθοῖς ἀπολαῦσαι αἰτούμεθα· ὡς κυβερνῆται τοῦ βίου παντὸς καὶ ἡμᾶς πάντας ῥύσασθε τοῦ πειρασμοῦ |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 7.72 Ῥήματα θεῖα καὶ πᾶσαν γνῶσιν τὴν ἐξ ὕψους λαβόντες, γραμματεῖς καὶ σοφοὺς καὶ πολυφθόγγους νικήσαντες, διὰ τῆς χάριτος οὐρανόθεν τὴν παιδείαν τοῦ πνεύματος σοφισθέντες, βίον ὡς χρὴ καθαρὸν καὶ ἀκτήμονα ἔχοντες, ἀμώμως πολιτευθέντες καὶ φιλόσαρκον βίον μισήσαντες, ⟦τῶν⟧ ἀεὶ μενόντων ἐτύχετε· ὡς φωστῆρες δὲ θαύμασι λάμποντες |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 8.72 Ὢ τῆς ἀφάτου φιλανθρωπίας· ἀοράτως τοῖς πᾶσι φανεροῦνται πιστοῖς δεικνύντες τὴν συγκατάβασιν πένησιν ἅμα καὶ τοῖς πλουσίοις· ἰατρείας χαρίσματα τοῦ σωτῆρος βρύουσιν νοῦν ὡς πηγὴ ἀδαπάνητος πᾶσι βροτοῖς· πρεσβείαις τῶν ἀναργύρων μέχρι τέλους τὸν βίον ἀχείμαστον κυβέρνησον ἡμῶν, κύριε, ἵνα εὕρωμεν ἔλεος δι' αὐτῶν, |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 9.72 Μέγα, ἐξαίσιον ἦν ἰδέσθαι πῶς τὸ κτῆνος τοῖς ὄχλοις ἀνθρωπίνως λαλεῖ· „Μὴ ἀπ' ἀλλήλων χωρίσητε“, ἀποκαλύψει καὶ γνώσει θείᾳ· ὥσπερ πάλαι τῷ μάντει λόγον τὸ κτῆνος ἔσχεν ἐκεῖ, οὕτως αὖθις καὶ ὧδε ἐγένετο· ἐγὼ γὰρ ὑπὸ ἀγγέλου ὡδηγήθην τοῦ φράσαι ἀλήθειαν καὶ γνῶσιν δεῖξαι τοῖς ἅπασιν, ὅτι πέλουσιν οὗτοι ἀπήμονες |:τὸν κόσμον ἰώμενοι 〈ἐν τοῖς θαύμασιν〉 .:|

book 10.72 Ἅπασαν ἔννοιαν ὑπερβαίνει τὸ τοῦ ὄφεως πάλιν ἐκ κοιλίας ⟦τοῦ⟧ ἀνδρὸς ἐκβαλλομένου τῇ χάριτι· ὄφις γὰρ δόλιος ἐνεδρεύων, ὁ τοῖς πᾶσι πολέμιος καὶ ἐχθραίνων, ἕρπει δεινῶς καὶ εἰσῆλθεν ἐν στόματι τοῦ γεωργοῦ ὑπνοῦντος ἐπὶ τοῦ δένδρου· ἀλλ' εὐθέως προσφεύγει ὁ ἄνθρωπος ἐν τῷ ναῷ τῶν ἁγίων σπουδῇ καὶ τὸν δόλιον ἔμεσεν· καὶ γὰρ αὐτοὶ |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 11.72 Νῦν μέγα ἔργον τὸ τοῦ γυναίου πῶς τῷ ὅρκῳ δεσμεύει τὸν ἀεὶ δυσμενῆ ἐν τοῖς ἁγίοις πιστεύσασα· βόθρῳ γὰρ ταύτην βαλεῖν σπουδάσας ὁ πολέμιος, βόθρῳ ἐμπίπτει οὗτος ὁ σοβαρός· ὑπὸ πόδας πατεῖται τῶν δούλων Χριστοῦ καὶ πίπτει ἐν τοῖς χθονίοις, ὅπου πῦρ τὸ αἰώνιον μένει αὐτόν· διὸ ⟦καὶ⟧ ἡμᾶς ἐλευθέρωσον ἀπὸ τοῦ πονηροῦ, ὁ θεὸς ἡμῶν, |:τὸν κόσμον 〈ἰώμενος ἐν τοῖς θαύμασιν〉 .:|

book 12.72 Ὅλως οὐκ ἔλαθε τοὺς ἁγίους ἐμβαλεῖν διχονοίας ἐν αὐτοῖς ὁ δεινὸς διὰ τῶν δώρων σκεψάμενος καὶ χωρισμὸν βουληθεὶς ποιῆσαι διεγείρων τὸ γύναιον διὰ ὅρκων· ὅμως ὁ εἷς διὰ τῆς ἀκακίας δεξάμενος μηδ' ὅλως θέλων ὡρκίσθη κατὰ τῆς δωρεᾶς τοῦ ἀχράντου θεοῦ· τὸν βίον ὅλον ἐρρύπωσεν, οὐδὲν τῶν αἰωνίων ἐκτήσατο· |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 13.72 Ὕμνον οἱ πάντες προσφερομέν σοι, διὰ τῶν ἀναργύρων καὶ σοφῶν ἰατρῶν, προσδέξασθαι ὡς θυμίαμα καὶ ὁλοκαύτωμα εὐωδίας, ἣν ἐν ὕμνοις προσφέρομεν σοὶ θυσίαν, σοὶ τῷ πατρὶ καὶ τῷ μονογενεῖ σου υἱῷ καὶ θεῷ καὶ πνεύματι τῷ ἁγίῳ· τρισαγίαν φωνὴν ἀναπέμποντες ῥυσθῶμεν πάντες ἐκ θλίψεως καὶ τῆς κρίσεως σου, ἧς ἠπείλησας· |:τὸν κόσμον 〈ἰώμενοι ἐν τοῖς θαύμασιν〉 .:|

book 1.73 Ἐκ τῆς ἀρρήτου σοφίας εἰληφότες χαρίσματα [para]ἐνεργεῖτε τὰς ἰάσεις ἐπὶ πάντα ἄνθρωπον, [para]θαυματουργοὶ ἅγιοι Χριστοῦ τοῦ θεοῦ· ὅθεν τῶν ἀλγηδόνων λυτρούμενοι ἐπαξίως κηρύττομεν· |:„Ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην καταλάμπει τῶν ἁγίων τὰ θαύματα.“:|

book 1.73

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τῷ ἡλίῳ τὸ φωτίζειν παρέπεται, [para]καὶ σελήνῃ τὸ αὐγάζειν συνέζευκται· καὶ ὁ μὲν φαιδρύνει τὸ τερπνὸν τῆς ἡμέρας, [para]ἡ δὲ καταυγάζει τῆς νυκτὸς τὸ ζοφῶδες· ἀπὸ τούτων ἐμετρήθησαν μῆνες, [para]καὶ ἐκ τούτων ἐφευρέθησαν χρόνοι· καὶ πάντα δουλεύει τῷ ἀνθρώπῳ [para]ὡς πάντων ὑπάρχοντι δεσπότῃ· διό, ἄνθρωπε, φωταγωγήθητι πρὸς τὰ οὐράνια καὶ κατανόησον τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 2.73 Οὐρανὸς μὲν ἐν τοῖς ἄστροις φαιδρύνεται, [para]καὶ ἡ γῆ δὲ τοὺς ἁγίους ἀνέτειλεν ὥσπερ ἄλλα ἄστρα νοητὰ ἐν τῷ κόσμῳ, [para]καὶ τὸ φέγγος τούτων σωτηρία ὑπάρχει· ἀλλὰ τούτους ἀνεβλάστησε μήτηρ [para]καὶ τὸ ὕψος τῶν ἀνθρώπων ὑπῆλθον· τοῖς σπλάγχνοις μήτηρ γενομένη [para]καὶ πιστὴ μήτηρ ἀνεδείχθη, υἱοὺς χάριτος οὓς ἀπεκύησεν ἀναγορεύσασα· διὸ ἡ χάρις τούτους ἀνέδειξεν |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 3.73 Ὑπουργούσης τοῖς ἁγίοις τῆς χάριτος [para]ἐπὶ πάντας τὰς ἰάσεις ἐπέφερον· δωρεὰν λαβόντες, δωρεὰν ἐνεργοῦσιν· [para]ἐμιμήσαντό γαρ τὸν Χριστὸν ἐν τοῖς ἔργοις τὸν μισθὸν δὲ τὴν ἁγνείαν ζητοῦσιν, [para]ἵνα πλέον ἐνεργήσῃ ἡ χάρις· διὸ καὶ νοσοῦντας τοὺς ἀνθρώπους [para]ἀναγεννῶσι θεραπείαις καὶ τὸν κίνδυνον ἀποδιώκουσι τὸν ἐπερχόμενον· ὅθεν καὶ τούτους ἡ χάρις ἔδειξεν |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 4.73 Τὸ δὲ μέγα τῆς ἁγνείας ἐπάγγελμα [para]ἐν ὀλίγῳ ὡς ἐν πλούτῳ ἐτίμησαν· γυναικὸς γὰρ τότε κρατουμένης ἐν νόσῳ [para]καὶ λοιπὸν τῷ πάθει ὡς ἐν τάφῳ χωσθείσης εἰσδραμοῦσαν θεωροῦσι σπουδαίως, ὀξυτέρως προσδραμόντες ἰῶνται· ἡ δὲ λαβοῦσα τὴν ὑγείαν [para]καὶ ἐπιγνοῦσα τὴν ἁγνείαν μισθὸν ἄμεμπτον, ὡς ὑπενόησεν, καὶ προσεκόμισε κατανοήσασα τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 5.73 Ἀλλ’ εὐθέως ἀνακράξας ὁ ἅγιος [para]τῷ γυναίῳ Δαμιανὸς ἀνεβόησεν· „Ὡς ἡ Εὔα, γύναι, ἀπατῆσαι με θέλεις [para]καὶ λαθραίοις δώροις ἐκχαυνοῖς τὴν ψυχήν μου· ἐν μεγάλοις καὶ μικροῖς ἁμαρτάνων [para]τιμωρίας τῆς αὐτῆς ἀξιοῦμαι· καὶ τί με σπουδάζεις ἀποστῆσαι [para]τοῦ ἀδελφοῦ μου τῆς φιλίας; ἐγὼ δὲ ἀθῶος ὢν ἐκομίσω μοι καὶ ἀνεπίληπτος· οὐ παροξύνω γὰρ τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .“:|

book 6.73 „Πλησιάζω τοῖς ποσί σου καὶ δέομαι,“ [para]ἀνεβόα τὸ γύναιον λέγοντα· „μιμητὴς ὑπάρχων τοῦ καλοῦ διδασκάλου [para]τὴν ἐμὴν πενίαν μὴ λογίσῃ εἰς ὕβριν· ὁ Χριστὸς γὰρ θεωρήσας τὴν χήραν, [para]ὅτι δύο ὀβολοὺς προσκομίζει, τῶν ἄλλων δὲ πλέον τῇ προθέσει [para]προσενεγκοῦσαν ἀπεδείκνυ· καὶ σύ, ἅγιε, ἱκετευόμενος μὴ ἀπορρίψῃς με, ἀλλὰ καὶ ζήλωσον τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .“:|

book 7.73 „Ἐν τοῖς λόγοις ὥσπερ βρόχοις συνέχεις με, [para]ὡς παγὶς δὲ ἐνεδρεύεις τῷ δρόμῳ μου· μή με κράτει, γύναι, θεραπεύειν ζητοῦντα· [para]ἀσθενῶν γὰρ πᾶς τις πρὸς ἡμᾶς καταφεύγει· σὺ μὲν θέλεις, ἵνα λάβω τὰ δῶρα, [para]ἀλλ’ ἡ χάρις οὐ λογίζεται χάρις· ἐγὼ γὰρ δωρεὰν ἐδιδάχθην, [para]ἵνα δωρεὰν καὶ θεραπεύω· λοιπόν, γύναιον, ἀποχωρίσθητι παρενοχλοῦσα μοι· οὐ παροξύνω γὰρ τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .“:|

book 8.73 „Ἱκετεύω καὶ οὐ θέλεις ἀκοῦσαι μου· [para]καὶ μὴ θέλων ὑπακούσεις τοῖς λόγοις μου· ἐνορκίζω γάρ σε τὸν σωτῆρα τῶν πάντων [para]τὸν ἐν σοὶ ποιοῦντα τὰς ἰάσεις, ἃς πράττεις, ἵνα δέξῃ καὶ μηδὲν ἀναβάλῃ· [para]δυσωπεῖσαι τὸ τοῦ ὅρκου φρικῶδες.“ Ὁ δὲ εὐθέως ἐφοβήθη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]καὶ ἐπεκάμφθη πρὸς τὰ δῶρα· Χριστὸν γὰρ ἤκουσε καὶ οὐ παρήκουσε κατορκιζόμενος· οὐ κατεφρόνει γὰρ τοῦ προστάξαντος |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελή〈νην καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉.:|

book 9.73 Νῦν ἁγνείας θεωροῦντες μυστήριον [para]ἐπὶ ταύτῃ τοὺς ἁγίους δοξάσωμεν καὶ τὴν τούτων μάχην ὑπὲρ πᾶσαν φιλίαν [para]γενομένην τότε εὐσεβῶς ἀνυμνήσωμεν· ὁ γὰρ ἅγιος Κοσμᾶς ἐλυπήθη, [para]ὅτε ἔγνω ⟦τὸν⟧ ἀδελφὸν ἐπὶ τούτοις, καὶ ἀθυμήσας ἀνεβόα· „Κακὸν τὸ πρᾶγμα, ἀδελφέ μου, κλοπῆς γὰρ ἔπισον τὸ ἐμπορεύεσθαι τὰ ἐκ τῆς χάριτος, καὶ προσεκρούσαμεν τῷ προστάξαντι |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν 〈σελήνη [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉.“:|

book 10.73 Ὀργισθείς δε ἐπιμένει λυπούμενος, [para]ὡς ἐχθρὸν ⟦δὲ⟧ τὸν ἀδελφὸν ἀπεστρέφετο· καὶ φωνῇ μεγάλῃ ἀνεβόα τοιαῦτα, [para]ὡς ἀκοῦσαι πάντας τῶν ῥημάτων ἐκείνων· „Τὴν ἁγνείαν διεμέρισε δῶμα, [para]καὶ τὸ σῶμα χωρισάτω ὁ τάφος· αὐτὸς τεθήτω καταμόνας [para]καὶ ξένος ἔστω μου τοῦ τάφου· θεῷ γὰρ ἔγνωσται, ὅτι λελύπημαι ἐπὶ τῷ σφάλματι, ὅτι παρώργησε τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τ〈ὴν σελήνην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉.“:|

book 11.73 Ὑπὸ λύπης ἐπὶ ὕπνον ἐτρέπετο, [para]ὅτι ὕπνος θλιβομένων ἀνάψυξις· ὁ σωτὴρ δὲ τότε ἐπιστὰς τῷ ἁγίῳ [para]ἐπεβόα λέγων· „Παραινῶ σοι, ὦ τέκνον, οὐ δικαίως κατ’ αὐτοῦ ἐθυμώθης [para]κατ’ ἐμοῦ γὰρ ὁρκισθεὶς ἐφοβήθη· ἐπὶ τὸ πρᾶγμα μεσιτεύω· [para]ἐγὼ τὸ τραῦμα θεραπεύω· ὑμᾶς γὰρ ἔπεμψα, ἵν’ ἰατρεύετε καὶ θεραπεύετε· μὴ παροξύνῃς με τὸν προστάξαντα |:ὑ〈πὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉.“:|

book 12.73 Ῥυσθεὶς τάχος ἐκ τοῦ βίου ὁ ἅγιος [para]τῷ Χριστῷ Δαμιανὸς συνηυλίζετο· ὁ μειζότερός δε ἐπιμένει τῷ βίῳ, [para]ἵνα πᾶσαν βίαν τῶν δαιμόνων νεκρώσῃ· καὶ οὐ μόνον τοὺς ἀνθρώπους ἰᾶτο, ἀλλ’ ἐδίδου καὶ ἀλόγοις ὑγείαν· κλασθὲν γὰρ κτῆνος ἀνενέου [para]καὶ ἀπολύει θεραπεύσας, δεικνὺς ἐν ἅπασι τὸ ἀνεπίφθονον τὸ ἐν τῇ χάριτι, bis ⟦ὅτι καὶ ἄλογα ἐπισκέπτεται⟧ μὴ παρακούσας τῷ προστάξαντι |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para]καταλά〈μπειν τῶν ἁγίων τὰ θαύματα〉.:|

book 13.73 Ὡς σκιὰ οὖν καὶ ὁ χρόνος παρέδραμε· [para]καὶ τὸν κάλλιστον λαμπτῆρα ἀφήρπασε· μετὰ γὰρ τὸ πρᾶξαι τὰς ἰάσεις ἐκείνας [para]καὶ αὐτὸς ἐξῆλθε τὸν ἀνθρώπινον βίον, καὶ ὥσπέρ τις ἀθλητὴς ἐκνικήσας [para]στεφανοῦται τοῖς ἀχράντοις βραβείοις· ὁ ὄχλος δὲ προσεκαρτέρει [para]καὶ θάψαι τοῦτον οὐκ ἐτόλμων· τάφον οὖν ἕτερον περιεβλέποντο, ἵνα κατάθωνται, ἀλλ’ ἐπαρώργιζον τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para]κατ〈αλάμπειν τῶν ἁγίων τὰ θαύματα〉.:|

book 14.73 Μετὰ φωνῆς δε ἀνεβόα ἡ κάμηλος [para]ἡ κλασθεῖσα καὶ ὑγείαν τρυγήσασα· „Μὴ νομίσητέ με ὅτι φάντασμα πέλω, [para]ἐπειδὴ ἡ φύσις οὐ παρέσχε μοι λόγον ὁ γὰρ λόγος ἐξ ἐμοῦ μὲν φωνεῖται, [para]οὐκ ἐμὸς δέ, ἀλλ’ ὑμῶν τῶν ὁρώντων· μὴ οὖν χωρισθῶσιν ἀπ’ ἀλλήλων· [para]θεὸς γὰρ τοῦτο ὁ κελεύσας, ὁμοῦ τίθεσθαι καὶ μὴ χωρίζεσθαι τὴν ἀδελφότητα, μὴ παροξύνητε τὸν προστάξαντα |:〈ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉.“:|

book 15.73 Ἀποβάντες ἐκ τοῦ βίου οἱ ἅγιοι [para]ὡς παρόντες τὰς ἰάσεις παρέχουσι· καὶ τοῦ λόγου τούτου διηγοῦμαι τὸ πρᾶγμα, [para]ἵνα πᾶς ἀκούων τὸν θεὸν ἀνυμνήσῃ· γεωργός τις ἐκ τῶν τόπων ἐκείνων [para]ὑπὸ θέρμης ἐκκαυθεὶς τοῦ ἡλίου τῷ δένδρῳ προσφεύγει προσκλιθῆναι [para]κἀκεῖ ὑπνῶσαι πρὸς ὀλίγον· φρικτὸν δὲ γέγονε, πῶς ἐθεράπευσαν τὸν κινδυνεύσαντα·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεὸς ἐν τούτῳ τούτοις συνήργησεν |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελή 〈νην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 16.73 Νῦν ὁ πάντων ἀρχαιόθεν πολέμιος, [para]ὥσπερ πρώην ἐν τῷ ὄφει ἐνήργησε, καὶ τὰ νῦν ἐνταῦθα τὰ αὐτὰ μηχανᾶται [para]καὶ προστρέχει τούτῳ ὡς τῇ Εὔᾳ ἐν δένδρῳ· καὶ ὡς εἶδε βαρυνθέντα τῷ ὕπνῳ [para]καὶ τὸ στόμα ἀνεῳγμένον σκοπήσας προσέρπει ἄνω πρὸς τὰ χείλη [para]καὶ κάτω ἔδυ ἐν ⟦τῇ⟧ κοιλίᾳ· ὁ δὲ οὐκ ᾔσθετο ὅτε ἐγένετο πρὸς τὴν ἀνάπαυσιν, ἐπεκαλεῖτο δὲ τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελή 〈νην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 17.73 Ὀδυρμοῖς δε καὶ βοαῖς ὠλοφύρετο [para]σπαραγμοῖς δὲ ἀνεικάστοις κατείχετο· καὶ πολλῶν ἐλθόντων θεραπεῦσαι τὸ πάθος [para]ἐνικᾶτο πᾶσα τῶν ἀνθρώπων ἡ τέχνη· μετὰ ταῦτα τῷ κλαυθμῷ ἀνεβόα· [para]„Συμπαθήσας, ὁ θεός μου, βοήθει.“ εὐθέως δὲ 〈τότε〉 καταφεύγει ἐπὶ τὸν οἶκον τῶν ἁγίων· κἀκεῖσε ἔλαβεν, ὅσα ἠθέλησεν, καθὼς ᾐτήσατο τοῦ παρέχοντος καὶ προστάξαντος |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν 〈σελήνην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 18.73 Ὑπαντῶσιν τῷ ἀγροίκῳ οἱ ἅγιοι· [para]πρὶν γὰρ ἔλθῃ τὴν ὑγείαν ηὐτρέπισαν· καὶ ἀΰλῳ τέχνῃ ἐξηρεύνων τὸ πάθος, [para]ἐπειδὴ ἡ νόσος κεκρυμμένη ὑπῆρχεν· ἐμπνευσθέντες ⟦οὖν⟧ τῇ δυνάμει τῇ θείᾳ [para]ἐπεβόων αὐστηρῶς πρὸς τὸν ὄφιν· „Ἐξέλθε ἐκ τούτου τοῦ ἀνθρώπου, [para]ὁ πλάνος πάντων τῶν ἀνθρώπων· ἐν σοὶ γάρ, δόλιε, οἱ ἀρχαιόπλαστοι ἐξηπατήθησαν, ὡς καὶ παρώργησαν τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para] 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .“:|

book 19.73 ⟦Ὀλετῆρες τῶν παθῶν ἀνεδείχθητε, [para]ὡς γὰρ ζάλην καὶ τὰ πάθη συντέμνετε· οὐκ ἀνθρώπους μόνους, ἀλλὰ γὰρ καὶ τὰ κτήνη [para]ἀνορθοῦνται πλέον τῇ ὑμῶν θεραπείᾳ· διὰ τοῦτο ὡς λιμένι τῷ οἴκῳ [para]καταφεύγομεν τῆς ὑμῶν ἰατρείας αἰτούμενοι πάντες λυτρωθῆναι [para]ψυχικῶν ἐγκλημάτων καὶ τῶν νόσων, ἵν’ ἐξ ὑμῶν μισθὸν τὴν θεραπείαν νῦν κομισάμενοι [para]προθύμως κράξωμεν τῷ προστάξαντι· |:„‛Υπὲρ τὸν ἥλιον καὶ τὴν 〈σελήνην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .“:|⟧

book 20.73 Ὕπνῳ βαθεῖ κατηνέχθη ὁ ἄνθρωπος, καὶ προκύπτει ὁ ὄφις ἐκ τοῦ στόματος· ὁ δὲ διυπνίσθη καὶ ἀνέκραξε λέγων· [para]„Μηδεὶς ἐπιβάλῃ χεῖρα ἐπὶ τὸν ὄφιν· προσετάγη γὰρ αὐτῷ ἀπελθόντι [para]ἐν κολάσει τοῦ πυρὸς ἀπολέσθαι·“ εὐθέως δὲ τότε προεξῆλθεν [para]ἀφανὴς γενόμενος ὁ ὄφις· ὁ δὲ ἄνθρωπος χαίρων ἀπήρχετο ἐπὶ τὰ ἴδια δοξάζων πάντοτε τὸν προστάξαντα |:ὑπ 〈ὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 21.73 „Μὴ θυμοῦσθε, ἵνα εἴπω ἃ ἔπραξα [para]ἐν τῷ ὄφει,“ ὁ διάβολος ἔφησεν· „ἀναγκάζομαί γαρ καὶ μὴ θέλων λαλῆσαι, [para]ἐπειδὴ φοβοῦμαι τὴν ὑμῶν δυναστείαν· ὅτε εἶδον τὸν Ἀδὰμ καὶ τὴν Εὔαν [para]κατ’ εἰκόνα τοῦ θεοῦ γενομένους, εὐθέως τῷ φθόνῳ διετρώθην [para]καὶ ἐνενόουν πῶς ἀποπλανήσω, ‚θεοὶ ἔσεσθε διὰ τοῦ ὄφεωσ‘, ὑποτιθέμενος, ὡς καὶ παρώργισα τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para] 〈καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .“:|

book 22.73 „Νῦν τὸ δρᾶμα τὸ ἀρχαῖον ἐξέφανας [para]οὐ προθέσει, ἀλλ’ ἀνάγκῃ φερόμενος· ὁ θεὸς ὁ τότε τὴν ἰσχύν σου συνδέσας, [para]ὁ αὐτὸς ἐνταῦθα δι’ ἡμῶν σε δεσμεύει· ὑποχώρει εἰς τὸν ἴδιον τόπον, [para]ὅπου πέλει τῆς γεέννης ἡ φλόγα.“ ὁ δὲ εὐθέως ἐφιμώθη [para]καὶ ξένος τοῖς πᾶσιν ἐλογίσθη· αὐτοὶ δὲ ἔχαιρον ἐνδυναμούμενοι καὶ θεραπεύοντες, ἐν ᾧ δοξάζουσι τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελή 〈νην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 23.73

Ὁ ἐχθρὸς δὲ καθ’ αὐτὸν ἀνεβόησε· „Τί ποιήσω πανταχόθεν ἡττώμενος; ὁ Χριστὸς τὸ πρῶτον λεγεῶνας ἐκβάλλων [para]καὶ εἰς χοίρους πέμψας εἰς βυθὸν ἀκοντίζει· τὸ αὐτὸ δὲ οἱ ἀπόστολοι πάλιν [para]ἀπεσόβουν τοὺς αὐτῶν ὑπηρέτας· καὶ νῦν ἐλαύνομαι μὴ θέλων [para]ἐκ τῆς δυάδος τῶν ἁγίων· λοιπὸν δὲ φεύξομαι καὶ ἀπελεύσομαι, ὅπου προστάττουσιν· οὐ γὰρ δυνήσομαι ὅλως ἀνθίστασθαι· |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελή 〈νην [para]καταλάμπει τῶν ἁγίων τὰ θαύματα〉 .“:|

book 24.73 Συνδρομὴ δὲ τῶν ὁρώντων ἐγένετο [para]θεωρούντων τὸ θηρίον ἐκφεύγοντα· σὺν αὐτῷ δὲ τότε ὁ ὀλέθριος δαίμων [para]μετ’ ὀργῆς καὶ φόβου εἰς γεέννης ἀπῆλθεν. ἀλλὰ ταύτης τῆς φλογὸς λυτρωθῶμεν [para]ταῖς πρεσβείαις τῶν καλῶν ἀναργύρων· ῥυθμισθῶμεν νῦν ἐπὶ τὸ κρεῖττον [para]τοῦ βίου ἅμα καὶ τῶν τρόπων, ἵνα εὕρωμεν, ὃν ἀπωλέσαμεν, λαβεῖν παράδεισον· τοὺς γὰρ δακρύοντας οὐκ ἀποβάλλεται· |:ὑπὲρ τὸν ἥλ 〈ιον καὶ τὴν σελήνην [para]καταλάμπει τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 25.73 ⟦Ὁ δὲ δαίμων ἀστοχήσας τοῦ δράματος [para]καὶ τὴν ἧτταν μετ’ αἰσχύνης δεξάμενος πρὸς ἑτέραν πάλιν κακουργίαν ἐτράπη, [para]ἐπειδὴ ὑπῆρχε τῆς κακίας γεννήτωρ· ἀλλὰ γνῶμεν νῦν καὶ τοῦτο τὸ θαῦμα, [para]ἵνα πάλιν ἡττηθέντα τὸν δόλον. [para]ὁδεύειν μέλλοντα σκοπήσας [para]τινὰ τοῖς ἁγίοις ⟦προσ⟧καρτεροῦντα εὐθέως ἔδραμε καὶ τὸ γινόμενον δεινῶς ἐσκόπησεν· οὐ παρεχώρει δὲ ὁ βουλόμενος |:ὑπὲρ τὸν ἥλιον 〈καὶ τὴν σελήνην καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 26.73 Ὑπὸ φίλτρου καὶ ἀγάπης ὁ ἄνθρωπος [para]τὴν γυναῖκα τοῖς ἁγίοις παρέθετο ἐμπιστεύσας οὕτως τῆς αὐτῶν σωτηρίας, [para]ἵνα ἀποστείλας ὡς παρόντα γνωρίσῃ. ὁ δὲ δαίμων ἐναλλάξας τὸ σχῆμα [para]στρατιώτου ἐμιμεῖτο τὴν θέαν, καὶ πείθει τοῖς ὅρκοις τὴν γυναῖκα· [para]„Καλεῖ σε,“ λέγων, „ὁ ἀνήρ σου·“ ἡ δὲ ἐπείθετο καὶ ἠκολούθησεν, ἐπειδὴ ὤμοσε καὶ κατεπίστευσε τοῦ προστάξαντος |: 〈ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 27.73 Τὴν ὁδὸν δὲ τὴν εὐθεῖαν ἐξέκλινε [para]καὶ κρημνίσαι τὴν γυναῖκα ἐσπούδαζεν, ἀνεβόησέ δε τοὺς ἁγίους καλοῦσα· [para]„Μὴ παρίδητέ με ὡς ἡμῶν παραθήκην· μὴ συλήσῃ λυμεὼν τὴν ἀθλίαν [para]ὀλισθήσας τὴν μεθ’ ὅρκων κλαπεῖσαν· διώρυξέ μου τὴν καρδίαν [para]ἐν τῷ ψευδεῖ ὡς ἐν δικέλλῃ, καὶ νῦν οὖν βούλεται ἀποπλανῆσαι με πρὸς τὸ φονεῦσαι με· μὴ οὖν ἐάσῃς με, ὁ δυνάμενος |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελή 〈νην [para]καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .“:|

book 28.73 Οἱ ταχεῖς δὲ πρὸς συμπάθειαν ἔφθασαν [para]βοηθῆσαι τῷ γυναίῳ σπουδάζοντες· ὁ ἐχθρὸς δὲ τότε ὃ ἡτοίμασε βέλος [para]ἐν αὐτῷ τῷ ὅπλῳ ἡττηθεὶς ἐνεκρώθη, οὐ τῇ φύσει ἀλλὰ ἔργῳ καὶ λόγῳ [para]καὶ παγίδι τῇ ἰδίᾳ ῥήγνυται· κρημνίσαι γὰρ θέλων ἐκρημνίσθη, [para]ὀρύξας βόθρον ἐβοθρίσθη· αὐτὸς οὐκ ἔπληξεν, ἀλλ’ ἐπεπλήττετο πληγὴν ἀνίατον, ὅτι παρώργισε τὸν προστάξαντα |:ὑπ 〈ὲρ τὸν ἥλιον καὶ τὴν σελήνην καταλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|

book 29.73 „Σωτηρία σοι, γύναιον, γέγονεν“, [para]οἱ ἀνάργυροι τότε ἐβόησαν· „τοῦ ἀνδρὸς ἡ πίστις ὡς καλὴ παραθήκη· [para]καὶ αὐτὴν τηροῦντες σὺν αὐτῇ σε φρουροῦμεν·“ ὃς ἐντρέχει τῷ ναῷ τῶν ἁγίων [para]ὡς ἐκ ζάλης εἰς λιμένα γαλήνης· ταῖς τούτων πρεσβείαις λυτρωθῶμεν [para]ἀπὸ τῶν σκανδάλων τοῦ δολίου· αὐτοὺς οὖν πάντοτε καθικετεύσωμεν, ἵνα πρεσβεύσωσι καὶ δυσωπήσουσι τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην [para]κατ 〈αλάμπειν τῶν ἁγίων τὰ θαύματα〉 .:|⟧

book 29bis.73 ⟦Σῶσον κόσμον ταῖς πρεσβείαις τῶν ἁγίων [para]ἀναργύρων ὡς οἰκτίρμων καὶ θεός· καὶ τὴν σὴν εἰρήνην τῷ λαῷ καταπέμψας [para]βασιλεῖ τὰς νίκας ἐν πολέμοις παράσχου· ἵνα πάντες εὐσεβῶς ἀνυμνῶμεν [para]τὸν πατέρα, υἱὸν καὶ τὸ πνεῦμα, ἐν μιᾷ οὐσίᾳ τρισὶ προσώποις·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]τεῖχος καὶ σκέπην κεκτημένοι τὴν μόνην ἅπασι χαρὰν κυήσασαν καὶ προξενήσασαν [para]ζωὴν ἄληκτον, τὸν προστάξαντα |:ὑπὲρ τὸν ἥλιον καὶ τὴν σελήνην καταλάμπειν τῶν ἁγίων τὰ θαύματα.:|⟧

book 1.74 Φωτὶ τῷ νοητῷ τὰς ψυχὰς ἐλλαμφθέντες [para]φωτὸς τοῦ αἰσθητοῦ, ἀθλοφόροι κυρίου, [para]τὸ σέβας κατεπτύσατε καὶ θεῷ ἐλατρεύσατε· ὅθεν λάμπετε ταῖς τῶν θαυμάτων ἀκτῖσι θεραπεύοντες τὰς ψυχικὰς ἡμῶν νόσους |:ὡς χάριν δεξάμενοι.:|

book 1.74 Τὴν χερσωθεῖσαν καρδίαν μου πολλοῖς πταίσμασιν, Ἰησοῦ παντοδύναμε, ὄμβροις τῆς σῆς ἀγαθότητος [para]καρποφόρον δεῖξον ἀρεταῖς καὶ παράσχου μοι φωτισμὸν τῆς σῆς γνώσεως διαλύων τὴν σκότωσιν τῆς διανοίας μου, ἵν' ὑμνήσω γηθόμενος [para]τὸν ἱεράρχην καὶ ἀθλοφόρον Ἀκεψιμᾶν τὸν μέγαν, Ἀειθάλαν ⟦τε⟧ τὸν γενναῖον σὺν Ἰωσὴφ τῷ πανολβίῳ· ἐν σοὶ γὰρ θαρροῦντες ποικίλων βασάνων ἀνδρείως κατεφρόνησαν· [para]διὸ καὶ παρέχουσι νοσοῦσι τὴν ἴασιν |:ὡς χάριν δεξάμενοι.:|

book 2.74 Ὅλος ὑπάρχων, μακάριε, ἐκ νεότητος τὴν ψυχὴν ὡραιότατος, ἱερωσύνης τῷ χρίσματι ἐκ θεοῦ ἐχρίσθης καὶ στολὴν τὴν ἐξ αἵματος ἐνδυσάμενος, γέγονας ἱερέων καλλώπισμα καὶ τοῖς συνάθλοις σου ὁδηγὸς πρὸς εὐσέβειαν· [para]διὸ σὺν τούτοις ἐν τοῖς ὑψίστοις ἀγάλλεσαι ἀξίως ὡς τὸν δρόμον τελειώσας τῆς καλῆς ὁμολογίας καὶ πένησι πλοῦτον σκοπίσας πλουσίως, Ἀκεψιμᾶ πολύαθλε· [para]ἐντεῦθεν τοῖς δούλοις σου παρέχεις τὴν ἴασιν |:ὡς χάριν δεξάμενος.:|

book 3.74 Ὕλην φθαρτὴν βδελυξάμενος, παμμακάριστε Ἀκεψίμα, πεπόθηκας πλοῦτον τὸν μὴ παρερχόμενον· [para]ὅθεν καὶ τυράννων εὐθαρσῶς κατεφρόνησας καὶ βασάνους οὐκ ἔπτηξας, παρρησίᾳ δε ἔκραξας πρὸς τὸν δικάζοντα· „Ἐπιγνοὺς νῦν ἐπίγνωθι, [para]ὅτι ἡλίῳ οὐ προσκυνήσω, ⟦τῷ⟧ θεῷ μου δὲ λατρεύσω ἕως γήρους καὶ πρεσβείου, ὅπως μὴ ἐγκαταλείψῃ· ποίει οὖν μοι ἃ βούλει· ἑτοίμως γὰρ ἔχω πρὸς μάστιγας, πρὸς θάνατον, [para]ζωὴν ὅπως εὕροιμι τὴν διαιωνίζουσαν |:ὡς χάριν δεξάμενος.“:|

book 4.74 Τὸ μὲν σῶμα γηράλεος, τῇ ψυχῇ δὲ ὡς ἀδάμας καθέστηκας, Ἰωσὴφ παμμακάριστε, [para]πρεσβυτέρων κλέος καὶ μαρτύρων ἰσάριθμε, ἀθλητῶν ἐγκαλλώπισμα· ἐν καθέδρᾳ γὰρ ἔφθασας ἣν ἐπεπόθησας, καὶ καθίσας εὐφραίνεσαι [para]ὡς ἀθλοφόρος, ὡς τῷ κυρίῳ ἀμέμπτως λειτουργήσας, ὡς τοῖς λίθοις τὴν σὴν κάραν συνθλασθεὶς καὶ τὴν ψυχήν σου εἰς χεῖρας κυρίου ἐκθέμενος, πάτερ, ἐν οἷς καὶ τὰ ἰάματα [para]ἀντλούσας τοῖς κάμνουσι πλουσίως δεδώρησαι |:ὡς χάριν 〈δεξάμενοσ〉.:|

book 5.74 Ἄλλον σε Στέφανον ἔγνωμεν πρωτομάρτυρα, Ἀειθάλα ⟦νῦν⟧ πολύαθλε· ὡς γὰρ ἐκεῖνος τετίμησαι ἀρεταῖς ἐκθάλλων καὶ τῇ πίστει ἀνάπλεως θείῳ ζήλῳ πυρούμενος· διελέγχων ἑκάστοτε τοὺς ⟦τὸ⟧ πῦρ λατρεύοντας καὶ τὸν κτίστην μὴ σέβοντας· [para]διὸ καὶ τέλος ζωῆς ὑπέστης νιφάσι ταῖς τῶν λίθων· πρὸς ζωὴν δὲ τὴν ἀγήρω μετετέθης ἐπαξίως, ἐν ᾗ γηθοσύνως χορεύεις, θεόφρον, καὶ πρόσωπον πρὸς πρόσωπον [para]τὸ κάλλος κατοπτρίζεσαι Χριστοῦ τὸ ἀμήχανον |:ὡς χάριν δεξάμενος.:|

book 6.74 Λέγειν ὑμῶν τὰ τεράστια, τρισμακάριστοι, καὶ θαυμάτων τὸ πέλαγος τίς ἐπαξίως δυνήσεται; [para]πάντας γὰρ ἰᾶσθε τοὺς ἐν πίστει προστρέχοντας τῷ ναῷ ὑμῶν, ἔνδοξοι· καὶ δαιμόνων δὲ φάλαγγας ἀποδιώκετε ὡς θερμοὶ ἀντιλήπτορες, [para]τοὺς ἐν θαλάσσῃ χειμαζομένους ἰθύνετε πρὸς ὅρμον· πηρωμένους τὴν καρδίαν ὑπὸ πλήθους τῶν πταισμάτων τὸ φῶς τῆς μετανοίας πλουσίως δωρεῖσθε ὡς τῆς τριάδος, ἄριστοι, ⟦λάτραι ὑπάρχοντεσ⟧ καὶ ταύτην πρεσβεύοντες ὑπὲρ τῶν ψυχῶν ἡμων |:ὡς χάριν δεξάμενοι.:|

book 7.74 Ἀπὸ παντὸς καθαρεύοντες ἀνομήματος, ἀθλοφόροι πανεύφημοι, κρεῶν οὐδ' ὅλως ἐγεύσασθε [para]τῶν εἰδωλοθύτων· καὶ γὰρ ἄρτῳ ἐτρέφεσθε νοερῷ τῷ τοῦ πνεύματος· ἐν ᾧ καὶ στερεούμενοι ἀντεκατέστητε τοῖς τὸ σῶμα μαστίξασιν· [para]ὅθεν ἀξίως εὕρασθε πόνων τὰς

ἀμοιβὰς καὶ δόξαν ἀδιάδοχον, ὡς ἔφη ὁ σωτὴρ καὶ δεσπότης· „Ἐάν τίς με πίστει ἐνώπιον πάντων θεὸν ὁμολογήσειεν, [para]δοξάσω κἀγὼ αὐτὸν ἀγγέλων μου ἔμπροσθεν [para]|:καὶ χάριν 〈δωρήσομαι〉“.:|

book 8.74 Ῥώμῃ τῇ θείᾳ δυναμούμενος, μάρτυς ἔνδοξε, τοῦ ἐχθροῦ οὐ κατέπτηξας τὰς ἀπειλάς, ἀλλ' ἐπλήρωσας πρόσωπον τὸ τούτου ἀτιμίας ἐμπτύσματα δείξας τοῦτο ἀνίσχυρον· ὅθεν καὶ ἀγαλλόμενος πρὸς τὸν δεσπότην σου ἐκ καρδίας ἐκραύγαζες· [para]„Τῶν διωκόντων νῦν συνετρίβη ἡ παγὶς καὶ τὰ ὅπλα· αἱ ψυχαὶ δὲ τῶν δικαίων ὡς στρουθίον ἐρρύσθησαν ἐν ὀνόματί σου· ἡμῶν γὰρ ὑπάρχεις τὰ ὅπλα καὶ ἡ βοήθεια, [para]ὁ πάντας λυτρούμενος ἐκ θλίψεως, εὔσπλαχνε, |:καὶ χάριν δωρούμενος.“:|

book 9.74 Ὢ τῆς ἀνδρείας καὶ πίστεως, ἧς μετέχετε πρὸς τὸν πάντων δεσπόζοντα· κτίσμασι γὰρ οὐ προείλεσθε [para]θύειν, ἀθλοφόροι, τὴν τιμὴν ἀπονέμοντες πρὸς Χριστὸν τὸν φιλάνθρωπον τὸν ἐλθόντα λυτρώσασθαι τοὺς ὑποκύψαντας τοὺς αὐχένας τοῖς δαίμοσιν· [para]ὧν τῆς δουλείας ῥύσασθε πάντας τοὺς τὴν ἁγίαν μνήμην ὑμῶν ἀνευφημοῦντας καὶ ζυγῷ δικαιοσύνης ὑποκλίνατε τούτους, ὅπως εὐσεβοῦντες ἀμέμπτως εἰσελεύσονται [para]εἰς τὴν γῆν ῥέουσαν ἀφέσεως νάματα |:ὡς χάριν δεξάμενοι.:|

book 10.74 Μίαν γνώμην κτησάμενοι οἱ τρισάριθμοι ἀνδρικῶς ἠγωνίσασθε γυμνῷ τῷ σώματι, ἅγιοι, [para]καὶ τοὺς ἀσωμάτους ἐτροπώσασθε δαίμονας σὺν τοῖς ὑπασπισταῖς αὐτῶν· καὶ τὴν νίκην ἀράμενοι ἐν ἑνὶ πνεύματι ἐπαξίως ἀγάλλεσθε [para]σὺν ἀσωμάτων ταξιαρχίαις, μαρτύρων καὶ ὁσίων, μεθ' ὧν ἐπιστατοῦντες νοσημάτων ἐκλυτροῦσθε τοὺς πίστει καὶ πόθῳ ὑμᾶς εὐφημοῦντας καὶ ἴασιν παρέχετε [para]ψυχαῖς τε καὶ σώμασι δυνάμει τοῦ πνεύματος |:ὡς χάριν δεξάμενοι.:|

book 11.74 Ἀκηκοότες τὸ πρόσταγμα τὸ παράνομον εἰς οὐδὲν ἐλογίσασθε τῶν προσταξάντων τὸ φρύαγμα, [para]γέλωτος δὲ δίκην ἡγησάμενοι ἔστητε πρὸς τὸ βῆμα, ὁμόψυχοι· „Οὐκ ἀρνούμεθα“, κράζοντες, „θεὸν τὸν ἄναρχον τὸν ποιήσαντα ἅπασαν [para]τὴν οἰκουμένην λόγῳ ἰδίῳ καὶ τὸ φῶς ὥσπερ δέρριν διατανύσαντα, ὡς οἶδεν εἰς δουλείαν τῆς ἡμέρας καὶ νυκτὸς δὲ πάλιν σελήνην καὶ ἀστέρας, ἅπερ οἱ προσκυνοῦντες ⟦νῦν ὑπάρχουσιν ἄψυχοι⟧ ἀψύχοις λατρεύοντες καὶ δόξαν προσνέμοντες |:ὡς χάριν δεξάμενοι“.:|

book 12.74 Νυκτομαχοῦσαν, πανεύφημοι, τὴν καρδίαν μου ἡδονῶν ἀμαυρότησι καὶ ταῖς τοῦ βίου φροντίσι τε [para]περιπεπλεγμένην ἐπιστάντες διαλύσατε καὶ γαλήνην δωρήσασθε πρὸς εὐθεῖαν ἰθύνοντες τρίβον ἀσκήσεως τὰς ὁδούς μου, τρισόλβιοι, [para]ὅπως ἀσμένως τὰς τῶν δαιμόνων παγίδας ἐκπεράσας κούφως ὅλος ἐπανέλθω ἀρετῶν ἐπὶ τὸ ὄρος, φωνῆς τε ἀκούσω θεοῦ τοῦ ὑψίστου· „Ψυχή μου ἡ ταλαίπωρος, [para]εἰς Σηγὼρ διασώθητι τοῦ κόσμου ἐξαίρουσα |:ὡς χάριν δ〈εξάμενη〉.“:|

book 13.74 Ὁ κόσμος ὅλος ἀγάλλεται, τρισμακάριστοι, καὶ φαιδρῶς ἑορτάζει νῦν μνήμην ὑμῶν τὴν πανίερον [para]καὶ τὰ λείψανά δε ἱερῶς περιπτύσσεται τὰς μορφὰς ἀσπαζόμενος· ἐν γὰρ τούτῳ εὐφραίνεται πιστῶν ὁμήγυρις καὶ τὸ κέρας ἐπαίρεται [para]τῶν ὀρθοδόξων καὶ φιλεόρτων κατὰ αἱρετιζόντων καὶ τὰς στήλας τῶν ἁγίων σχετικῶς μὴ προσκυνούντων· φησὶ γὰρ ὁ θεῖος Βασίλειος, ἔφη· „Εἰκόνος ἡ προσκύνησις [para]ἐπὶ τὸ πρωτότυπον σαφῶς ἐπανέρχεται |:ὡς χάριν δω〈ρούμενη〉.“:|

book 14.74 Ὕμνον ἄξιον, ἅγιοι, ἀποροῦντι μοι προσενέγκαι, προσδέξασθε ὃν νῦν ἐκ πόθου συνέταξα, [para]ἀμοιβὴν διδόντες ἰαμάτων χαρίσματα καὶ πταισμάτων τὴν ἄφεσιν, τοῦ πυρὸς δὲ λυτρούμενοι δεξιοῖς τόποις με ἀριθμήσατε, ἔνδοξοι, [para]ὡς παρρησίαν πρὸς τὸν σωτῆρα καὶ κύριον εὑρόντες· βασιλεῖ δὲ φιλοχρίστῳ τὴν κατὰ τῶν πολεμίων βραβεύσατε νίκην καὶ ταῖς

ἐκκλησίαις εἰρήνην καταπέμψατε [para]ὑμῶν παρακλήσεσι, τριάδος ἰσάριθμοι, |:ὡς χάριν δεξάμενοι.:|

book 1.75 Τῆς τριάδος ἄριστος, Μηνᾶ, ὁπλίτης [para]καὶ ἀγγέλων, ἔνδοξε, ἐφάμιλλος ἀναδειχθεὶς [para]ὑπὲρ τῆς ποίμνης σου πρέσβευε· |:σὲ γὰρ ἔχει τὸ ἀήττητον καύχημα.:|

book 1.75 Ὁ τῆς δόξης κύριος καὶ πάντων κτίστης, [para]σὺ ἐν κόσμῳ ἔδειξας λελαμπρυσμένον ἀρεταῖς [para]τὸν ἀθλοφόρον καὶ μάρτυρα, |:ἵνα κατέχῃ ἀήττητον τρόπαιον.:|

book 1.75 Τὸν ἀθλοφόρον τιμῶσα καλῶς ἡμέρα ἔλαμψε περιφανής· [para]ἡμεῖς δὲ ταύτῃ ὡς σινδόνι τὰς αὐτοῦ ἀσφαλῶς ἀριστείας συγγράψωμεν, ἀντὶ μὲν τῶν χρωμάτων ῥήματα ἐντιθέντες, νοητῶς δὲ δεικνύοντες [para]γυμνὸν τὸν ἀθλητὴν προκαλούμενον πάλην, μανίᾳ τὸν ἐχθρὸν ἐπερχόμενον τούτῳ συμπλακέντα καὶ διαρρηγνύμενον· τοὺς τῶν ἀγγέλων χαίροντας χοροὺς ἐπὶ τῇ πτώσει αὐτοῦ [para]καὶ τὸν πάντων δεσπότην στέφοντα τὸν ἀριστέα, |:ἵνα κατέχῃ τὸ ἀήττητον τρόπαιον.:|

book 2.75 Οὗτος οὖν πέφυκεν ὁ κραταιὸς Αἰγύπτιος μὲν τῷ γένει, φησί, [para]στρατοῦ δὲ τοῦ κατὰ Φρυγίαν καταλόγοις ἐμπρέπων κα͜ὶ ἀ͜νδρείως εὐπρόθυμος, ἔχων κατὰ βαρβάρων κράτιστον τὴν παλάμην, εὐειδής, ἀξιότιμος· [para]καὶ ἦν ὁ εὐσεβὴς μέσον τῶν ἀσεβούντων, ὁ ὄρθριος ἀστὴρ μέσον τῶν νυκτιφρένων· [para]ὁ ἀμνὸς δὲ θηρσὶν ὑπεκύκλωτο· ὡς ἡ γραφὴ στρουθίον μεταξὺ τῶν θηρευόντων φησίν· [para]ἀλλ’ ἐρρύσθη ἐκ τούτων· ἡ παγὶς γὰρ συνετρίβη, |:καὶ ἐδέξατο τὸ ἀήττητον καύχημα.:|

book 3.75 Ὕλαι παρήγοντο μέτα σπουδῆς, οἰκοδομοῦντο βωμοὶ συνεχεῖς, [para]καὶ πάντες εἵλκοντο σπουδαίως ἐπὶ τὸ θυσιᾶσαι ⟦τοῖσ⟧ ἀψύχοις οἱ ἔμψυχοι· καὶ γὰρ προτιθεμένῳ ἅπαντας τοὺς ὁρῶντας ἐθορύβει τὸ πρόσταγμα· [para]„Διοκλητιανός,“ φησιν, „ὁ βασιλεύων, καὶ Μαξιμιανὸς ἐγὼ ὁ συνανάσσων [para]πολιάρχοις, ἐξάρχοις καὶ πράκτορσι καὶ δι’ ὑμῶν πάσῃ τῇ ὑφ’ ἡμᾶς τύχῃ κελεύομεν [para]τοῖς ἐκ σοῦ δηλουμένοις ἔργῳ πέρας ἐπιθεῖναι, |:καὶ μὴ εἶναι τὸ ἀήττητον καύχημα.:|

book 4.75 Τοῖς πρὸ ἡμῶν ἀκολούθως ἡμεῖς κυροῦμεν σέβεσθαι τὰ βδελυκτά, [para]ὡς λέγουσιν οἱ Γαλιλαῖοι, ἀλλ’ ἡμεῖς ὡς ἡγούμεθα ⟦τὰ⟧ πᾶσιν ἀνώτερα τοὺς δὲ μὴ πειθομένους τοῖς ἡμῖν δεδογμένοις τιμωρεῖσθαι κελεύομεν.“ [para]τοιούτων ὡς εἰκὸς κατὰ πόλιν σταλέντων οἱ ἄρχοντες εὐθὺς δημοσίᾳ τοὺς ὄχλους [para]μετ’ ἀνάγκης ἐκέλευον ἄγεσθαι καὶ κατὰ τόπον τὴν θεοστυγῆ πρᾶξιν ἐκείνην τελεῖν· [para]καὶ ἀνθρώπινος φόβος ἥρπασε τοῦ θείου φόβου |:τοὺς μὴ λαβόντας 〈τὸ〉 ἀήττητον τρόπαιον.:|

book 5.75 Ἅπαντα δὲ τὸν ἀέρα ῥυπῶν καπνὸς ἐμίανε τῶν θυσιῶν [para]καὶ κνῖσα δὲ πλείστων θυμάτων· ἡ δὲ γῆ οὐχ ὑπέφερε στέγειν, ἃ ἔβλεπεν· εἷλκεν γονεῖς τὸ τέκνον, καὶ υἱὸς τὸν πατέρα παρεδίδου εἰς θάνατον· [para]ἀλλ’ οὗτος ὁ στερρὸς καὶ φιλόθεος ὄντως εἰς ἔννοιαν λαβὼν τοῦ θεοῦ τὴν ἐλπίδα, [para]μὴ βαστάσας ὁρᾶν τὰ παράνομα, μᾶλλον προέκρινεν μετὰ θηρῶν ἢ μετ’ ἀθέων οἰκεῖν· [para]ἐν ἐρήμῳ ἀβάτῳ ἀνεχώρει πάντα ῥίψας, |:ἵνα λάβῃ τὸ ἀήττητον τρόπαιον.:|

book 6.75 Πάντες γὰρ τοῦτο οἱ ἀγωνισταὶ κρατοῦσι χρήσιμον ἔθος ἀεί, ⟦τοῦ⟧ ἀεὶ γυμνάζειν καὶ δαμάζειν ἑαυτοὺς πρὸ αὐτῆς τῆς κυρίας ἀθλήσεως· οὕτω δὴ καὶ ὁ μάρτυς ἄχρι ἐτῶν δυάδος ὑπερόριος στέγων ἦν [para]γυμνάζων ἑαυτὸν ταῖς ἀγρύπνοις μελέταις, τὸν νοῦν ταῖς πρὸς θεὸν προσευχαῖς ὑπαλείφων [para]καὶ νηστείαις σφίγγων καὶ νευρούμενος, ἕως αὐτὸν ὁ ἀγωνοθετῶν ἔκρινεν ἔχειν καλῶς· [para]καὶ λοιπὸν πρὸ τῶν ἄθλων δόκιμον προσάγει τοῦτον, |:ἵνα λάβῃ τὸ ἀήττητον τρόπαιον.:|

book 7.75 Ἵππων δὲ τότε ἁμίλλης ἀγὼν τῇ πόλει τότε γενέθλιος ἦν [para]καὶ πάντες ἔτρεχον οἱ δῆμοι, καὶ εἰδώλων βακχείαις τὸ πᾶν ἐστέφετο· δοῦλοι ἐκ τῶν κυρίων, παῖδες ἐκ διδασκάλων πρὸς τὴν θέαν συνήγοντο· [para]οἴκους δὲ ἀσφαλεῖς οἱ τηροῦντες ἀφέντες, οἱ δὲ τῇ ἀγορᾷ τὰ

ὀψώνια λιπόντες [para]ὠξυδρόμουν σπουδῇ πρὸς τὸ θέατρον· οἱ τῶν ἐμπόρων νέων μισθωτοί, τὰ ἐργαστήρια [para]καὶ ἀλλόχωρος ὄχλος ἐπεχύθη ⟦οὐκ ὀλίγοσ⟧ θεωρῆσαι, |:ὅπως λάβῃ τὸ ἀήττητον τρόπαιον.:|

book 8.75 ⟦Ἵππων δὲ τότε ἁμίλλης ἀγὼν τῇ πόλει μέγας γενέθλιος ἦν, [para]καὶ πάντες ἔτρεχον οἱ δῆμοι καὶ⟧

book 9.75 „Νῦν σπέρειν θεῖον εἰδέναι καιρός,“ ὁ μάρτυς τότε εἰπὼν ἑαυτῷ ἐκ τῶν ἀγρῶν ἀπεκατέβη τῷ θεάτρῳ καὶ πάντας τοὺς ὄχλους παρέδραμεν· μέσον δὲ ἐγκατέστη καὶ θαρσαλέως ἔφη δι’ αὐτοῦ τοῖς φονεύσουσι [para]μηδ’ ὅλως ἐννοῶν, ὡς τοσαύταις ἀνθρώπων πολεμίων τοιγαροῦν παλάμαις ἐκδίδοται, [para]ἀλλ’ ἀτρέμας ἔμεινεν ἔχων φρόνημα στερρόν, ὅθεν φρουρούμενος ὑπὸ θεοῦ ταῦτα ἐβόα πρὸς αὐτούς· [para]„Φανεροῦμαι, ὁρῶμαι τοῖς ἐμὲ μὴ ἐρευνῶσιν, |:ἵνα εὕρω τὸ ἀήττητον τρόπαιον.“:|

book 10.75 Οὕτως ἀθρόως τῷ δήμῳ φανεὶς εὐθὺς μετέστρεψεν εἰς ἑαυτὸν [para]τοὺς πάντας ἐκ τῆς θεωρίας ἐπὶ τὸ παρὰ δόξαν αὐτοῦ τῆς ὁράσεως· ἦν γὰρ τῇ ὄψει τότε πάνυ ἠγριωμένος, πεπλησμένος δὲ χάριτος· [para]τὴν κόμην αὐχμηρὸς καὶ ῥυπῶν τὴν ἐσθῆτα, σῶμα κατεσκληκὼς καὶ βαθὺς τὴν ὑπήνην, [para]τὴν χροιὰν δὲ δηλοῦσαν τὸν καύσωνα· ὡς γοῦν ἐγνώσθη, τίς οὗτος ἐστίν, ἦλθεν βοὴ συμμιγὴς [para]ἀλληνάλλως τῶν ὄχλων κεκραγότων· „Αἶρε τοῦτον, |:τὸν ζητοῦντα τὸ ἀήττητον τρόπαιον.“:|

book 11.75 Ὑπερωράθη λοιπὸν ὁ ἀγών, τῶν τετραπόδων ὁ δρόμος εἰκῇ, [para]ἁρμάτων τε ἱμαντοδέτων τὰ ὑπότροχα σύρματα ⟦εἰσ⟧ μάτην ἐγίνοντο· τῶν ἐλατήρων πᾶσα ἡ ἐμπειρία τότε εἰς οὐδὲν ἐλογίζετο· [para]ἀγῶνα γὰρ αἰσχρὸν τῶν εἰδώλων κατήργει ἀγὼν πνευματικὸς ἐκτελούμενος πίστει, [para]καὶ ἐν τούτῳ θεὸς ἐδοξάζετο· διὰ δὲ τῶν κηρύκων πᾶς ⟦ὁ⟧ λαὸς μόλις ἐσίγησε [para]καὶ αὐλῶν σιωπώντων ὥσπερ ὄργανον ἐλάλει |:ὁ λαμβάνων τὸ ἀήττητον τρόπαιον.:|

book 12.75 Ῥήξας δὲ Πύρρος ὁ ἄρχων φωνὴν τοὺς κήρυκας ἀποστέλλει βοᾶν· [para]„Λεγέτω, τίς καὶ πόθεν ἔφυ τὴν ἀξίαν καὶ ἕνεκα τίνος ⟦ὧδ’⟧ ἐλήλυθεν“· ὅθεν ἀνακραυγάσας ὡς ἐπὶ ἐκκλησίας ἑστηκὼς ἀπεφήνατο· [para]„Ὄνομα μὲν Μηνᾶς· ἐξ Αἰγύπτου δ’ ὡρμήθην· ἐρήμους δὲ νυνὶ δι’ ὑμᾶς ἐγκατῴκουν· [para]στρατιώτης θνητοῦ ἤμην ἄνακτος· ἀλλ’ ἄρτι ὥπλισμαι ὑπὸ θεοῦ τοῦ δυναμοῦντος ἐμὲ [para]καθ’ ὑμῶν τῶν ἀθέων καὶ ἐμὲ περιεχόντων |:τὸν ζητοῦντα τὸ ἀήττητον τρόπαιον.:|

book 13.75 Ὥσπερ 〈εἰ〉 χείμαρροι ἀνομιῶν καὶ ταῦροι πίονες ⟦περι⟧κύκλοθεν μοὶ [para]ἱστάμενοι καὶ ζητοῦντες τοῦ λαβεῖν ἀπ’ ἐμοῦ τὴν ψυχήν μου σπουδάζετε· ἄγετε τὰς κολάσεις· ἕτοιμος εἰμὶ πάσχειν· τῆς σαρκός μου οὐ κήδομαι· [para]ἐγὼ Χριστιανὸς καὶ ὑπάρχω καὶ μένω· οὐ δέδοικα ὑμᾶς τοὺς φονεύοντας σῶμα, [para]τῆς ψυχῆς δὲ μὴ ἐξουσιάζοντας· ἀλλὰ φοβοῦμαι μόνον τὸν Χριστόν, τὸν καὶ δυνάμενον [para]μετὰ θνῆσιν γεέννης ἐμβαλεῖν τοὺς ἀσεβοῦντας, |:τοὺς μὴ ζητοῦντας τὸ ἀήττητον τρόπαιον.:|

book 14.75 Μόνον ἀκήκοε ταῦτα μανεὶς τὴν θέαν ἔλιπεν ὁ ἡγεμὼν [para]καὶ ἦν ἀθρῶν πρὸς τὴν δίκην· ἐπορεύετο οὖν καὶ ἐθρύλει τὸ θέατρον πάντων παλινδρομούντων καὶ διεπτοημένων τὸν γενόμενον τάραχον· [para]καὶ θάμβος ἦν ἰδεῖν κατιόντας τοὺς ὄχλους καθάπερ ποταμοὺς ὀχετοὺς ἐκρέοντας, [para]δρασσομένους καὶ ἕλκοντας 〈–〉 μεταρρυέντας ὁμοθυμαδὸν εἰς τὸ πραιτώριον· [para]τὸ δὲ βῆμα ὁ ἄρχων φθάσας· „Παραχθήτω,“ ἔφη, |:„ὁ ἐλπίζων τὸν ἀκήρατον στέφανον.“:|

book 15.75 Ἄγεται δὲ ὁ ἀθλήσας καλῶς, πρὸς ὃν φησὶν ὁ δεινὸς ἡγεμών, τὰ μὲν προτρέπων κολακείαις, τὰ δὲ ταῖς ἀπειλαῖς ἐκφοβῶν τὸν ἀπτόητον· „Μὴ τὴν ζωήν σου λίπῃς διὰ σκληροκαρδίαν· οὐ γὰρ ἔχεις ἀντάλλαγμα· [para]δι’ ἔνδειαν εἰκῇ τὸ θανεῖν ἐπισπᾶσαι; μὴ οὕτως ἑαυτοῦ τὰ νῦν ἀπαγορεύσῃς· [para]καὶ γὰρ πλῆθος χρημάτων δωροῦμαι σοι· ἐκ βασιλέων δὲ πλείω ⟦τὴν⟧

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τιμὴν περιποιήσομαι σοί, [para]καὶ ἑτέραν ἀξίαν ἀπολήψει, ἐὰν θύσῃς, |:ὁ ἐλπίζων τὸ ἀήττητον τρόπαιον.“:|

book 16.75 „Νῦν ἐφ’ ᾧ ἤλυθα, μὴ ἀσχολοῦ καὶ ἐκφαντάζου“, ὁ μάρτυς βοᾷ, [para]„ἀπατῶν με ὑπερθέσει· ὡς γὰρ εἶπας, ζωῆς οὐ προκρίνω τὸν θάνατον· πᾶσι κοινὸν τὸ θνήσκειν· μὴ οὖν ἀπραγματεύτως ὑπεισέλθω τὸν θάνατον; [para]ἀντάλλαγμα καλὸν συμφωνίας κερδάνω, ζωὴν ἐκ τοῦ θανεῖν καὶ τρυφὴν διὰ ξίφους· [para]καὶ θανοῦμαι ὑπὲρ τοῦ δι’ ἐμὲ θνήσκοντος, ἵν’ ἐπουράνιον καὶ διηνεκῆ λάβω ζωὴν παρ’ αὐτοῦ· [para]οὐ μετάγεις τὸν νοῦν μου ἐκ τῶν οὐρανίων εἰς γήϊνα, |:ἀλλὰ κτῶμαι τὸ ἀήττητον τρόπαιον.“:|

book 17.75 Οὕτως διάπυρον ἔχων τὸν νοῦν περὶ τὸν ζῆλον τὸν πρὸς 〈τὸν〉 θεὸν [para]θυμὸν ἐξάψας ἡγεμόνος ἑαυτῷ ἐπιφέρει πηγάζον τὸ πρόθυμον· ὅθεν λοιπὸν τὴν τάξιν οὕτω μετασκευάσας, ὑπερζέσας ⟦τῷ θυμῷ⟧ ἐκέλευσε ⟦λέγων⟧· [para]„Αἰκίσατε αὐτὸν μαστιγοῦντες βουνεύροις· στρεβλούσθω κρεμασθεὶς ἀφειδῶς ἐπὶ ξύλου· [para]τὰς πληγὰς δὲ τριχίνοις προστρίψατε, ἵνα μαλάξω τούτου τὸ σκληρὸν —τάχα ⟦γὰρ⟧ οὐκ ᾔσθετο— [para]καὶ τριβόλοις ὀξέσιν ὕπερθεν περιφερέσθω |:ὁ δηλώσας τὸ ἀήττητον τρόπαιον.“:|

book 18.75 „Ὕπνος μοι ταῦτα,“ ὁ μάρτυς φησίν, „ἃ λέγεις πάντα φρικτὰ καὶ δεινά· οὐ στρέφεις με ἀπὸ τοῦ δρόμου ⟦μου⟧, ὅτι τρέχω βραβεῖον θεόθεν κομίσασθαι· οὐ γὰρ ἡμᾶς χωρίσει τῆς τοῦ Χριστοῦ ἀγάπης τοὺς αὐτῷ ἐπελπίζοντας, [para]οὐ ξίφος, οὐ λιμός, οὐ γυμνότης, οὐ φόβος, οὐθὲν τῶν ὁρατῶν οὐδὲ τῶν ἀοράτων· [para]εἰ δὲ ἄρα γενέσθαι ἠδύνατο, οὐ μίαν μόνον ἤθελον θανεῖν, ἀλλὰ καὶ δέκατον [para]καὶ πλειστάκις σφαγῆναι ὑπὲρ 〈τοῦ〉 θεοῦ 〈τοῦ〉 ζῶντος, |:τοῦ διδόντος τὸ ἀήττητον τρόπαιον.“:|

book 19.75 „Ἔστη ὁ νοῦς μου,“ ὁ ἄρχων βοᾷ, „κατέπληξέ με ἡ ἔνστασις νῦν, [para]ἣν ἔχει οὗτος διαρκοῦσαν· ὡς ἡγοῦμαι αὐτὸς τὰς βασάνους ⟦μᾶλλον⟧ ἐκόλασεν· τέως δὲ μεταγέσθω, ἵνα τὸν νοῦν συνάξας αὐτοῦ καταψηφίσωμαι“· [para]καὶ δὴ συμβουλευθεὶς ὑπὸ τοῦ μισανθρώπου ἀρέσκουσαν αὐτῷ ἐφευρὼν τιμωρίαν [para]τὸν γενναῖον ἀχθῆναι ἐκέλευσε· καὶ ἐξεφώνησεν ὁ δικαστὴς τῆς ἀδικίας εἰπών· [para]„Ἐκδοθήτω τῷ ξίφει καὶ θανὼν πυρὶ καυθήτω, |:ἵνα λάβῃ τὸ ἀήττητον τρόπαιον.“:|

book 20.75 Πᾶσα ἡ πόλις δὲ τότε ὁμοῦ συνέδραμε θεωρῆσαι αὐτόν, [para]καὶ δὴ προσπάσχοντες οἱ φίλοι περιπτύσσεσθαι τοῦτον ἐσπούδαζον λέγοντες· „Μνήσθητι τῆς φιλίας, καὶ συγγενεῖς μὴ λίπῃς καὶ ἀπέλθῃς πρὸς θάνατον.“ [para]ἐκείνους γὰρ αὐτὸς ὁ ἐχθρὸς σφενδονίζων, τὸν μὲν ἐπὶ κλαυθμῷ, τὸν δὲ πιθανῷ λόγῳ, [para]πρὸς τὸ πεῖσαι αὐτὸν παρεσκεύαζεν· ἀλλ’ ἀντ〈ε〉ώθει τούτους ὁ πιστὸς λέγων·“ ⟦Ὑπο⟧χωρεῖτέ μου· [para]μετὰ χεῖρας ὁ πλάστης μένει ἔχων τὸ βραβεῖον, |:ἵνα δῶ μοι τὸ ἀήττητον τρόπαιον.:|

book 21.75 Ὅταν τμηθῇ 〈ἡ〉 ἐμὴ κεφαλή, φλεχθήτω ἅπαν τὸ σῶμα καλῶς· [para]σήμερον γὰρ ἀπὸ δοχῆς μου ἡ τοῦ σώματος καῦσις ὑμῖν ᾠκονόμηται· τὸν Ἰσαὰκ μιμοῦμαι καὶ ἑαυτὸν προσφέρω τῷ θεῷ ὁλοκαύτωμα· καυθεὶς μὲν γὰρ ὁ ποῦς μετ’ ἀγγέλων χορεύσει, καυθεῖσα δὲ ἡ χεὶρ ἀεὶ πρὸς τὸν δεσπότην [para]παρρησίᾳ πολλῇ ἐπαρθήσεται· ὑπὲρ ἀνθρώπων πᾶσιν ἑαυτὸν δοῦναι βουλεύομαι [para]τοῖς ζητοῦσιν ἐκ καρδίας τὸν θεὸν καὶ ποθοῦσιν, |:ἵνα λάβω τὸ ἀήττητον τρόπαιον.:|

book 22.75 Σὺ τῶν ἐν θλίψει γενοῦ βοηθὸς καὶ πλημμελοῦσι συγγνώμην διδοῦ· [para]ἐπίβλεψον ἐπὶ τὸν κόσμον καὶ τοὺς πάντας ἐν πᾶσιν αὐτὸς περιποίησον· τοὺς ἐν θαλάσσῃ ὄντας σῶζε ἐκ τοῦ κινδύνου, γαληνότατε κύριε.“ [para]τοιαῦτα εἰρηκώς, ὑποθεὶς τὸν αὐχένα λαβών τε τὴν σφαγὴν ὑπ’ ἀγγέλων ἐδέχθη, [para]εὐφημούντων αὐτὸν ἐφ’ οἷς ἤθλησε, καὶ ⟦ἀπο⟧δέχεται τὸ στέφος νικητὴς παρὰ Χριστοῦ τοῦ θεοῦ ⟦ἀναδειχθείς⟧· [para]ἡ δὲ σὰρξ ἐχωνεύθη τὸ δοκίμιον δηλοῦσα |:τοῦ λαβόντος τὸ ἀήττητον τρόπαιον.:|

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.76 Ἐξ ὕψους, σοφοί, τὴν χάριν κομισάμενοι [para]τοῖς ἐν πειρασμοῖς προΐστασθε, πανεύφημοι· διὸ κόρην, ἅγιοι, ἐκ θανάτου πικροῦ ἐλυτρώσασθε· [para]ὑμεῖς γὰρ ὄντως ὑπάρχετε |:Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.:|

book 1.76 Τοὺς ἐκλεκτοὺς καὶ θεοφόρους μάρτυρας, [para]τοὺς εὐσεβεῖς τῆς ἐκκλησίας κήρυκας [para]εὐφημήσωμεν καὶ μακαρίσωμεν ἀνυμνοῦντες Χριστόν, Γουρίαν, Σαμωνᾶν τε καὶ Ἄβιβον, τὰ στελέχη Χριστοῦ, τὰς ἀμπέλους αὐτοῦ, |:Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.:|

book 1.76 Τῆς τοῦ ἐχθροῦ δουλείας με ῥῦσαι, Ἰησοῦ ζωοδότα, ταῖς τῶν σῶν ἀθλητῶν ἐντεύξεσι δυσωπούμενος, ὅπως ἀδούλωτον κεκτημένος ἐκ παθῶν τὴν ψυχήν μου τε καὶ τὸ σῶμα ἀνευφημῶ τὴν αὐτῶν ὀξυτάτην βοήθειαν, καθάπερ ἡ ἐν τῷ τάφῳ συγκλεισθεῖσα ἀνδρὸς δολιότητι· καὶ ταύτην τάχος προφθάσαντες τοῦ θανάτου ἐξείλοντο κράζουσαν· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 1bis.76 ⟦Τρόπαιον νίκης ἄνωθεν φαίνει ὁ σταυρὸς τοῦ κυρίου, ὃν οἱ σοφοὶ ἀθληταὶ ὡς θείαν χάριν εὑράμενοι, τοῦτον ἐπ᾽ ὤμων ἀναλαβόντες, τὰ ἐν κόσμῳ τερπνά τε καταλιπόντες, τὰς κατ᾽ αὐτῶν ὡς ἀράχνης ἱστὸν ἀρχὰς δείξαντες, λαμπάδι τῆς καρτερίας τὴν ψυχὴν ἐκλαμπρῦναι ἐσπούδαζον· διὸ καὶ θῦμα εὐπρόσδεκτον ἀνεδείχθησαν δόξῃ ἀστράπτοντες, |:Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.:|⟧

book 2.76 Ὁλολαμπεῖς φωστῆρες φανέντες τὸν τοῦ σκότους προστάτην τοῖς αὐτῶν αἰκισμοῖς εἰς γῆν οἱ ἅγιοι ἔρριψαν· πίστει γὰρ θείᾳ θωρακισθέντες τῆς τριάδος ἐδείχθησαν μυστολέκται· ὅθεν αὐτὴν δυσωποῦντες ἀεὶ διασώζουσι κινδύνων χαλεπωτάτων τοὺς πιστῶς πρὸς αὐτοὺς καταφεύγοντας, καθὼς διδάσκει τὸ γύναιον, ὃ διέσωσαν πίστει κραυγάζοντα· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 3.76 Ὑπὸ πολλῶν βασάνων τὰς σάρκας οἱ τρισόλβιοι οὗτοι μαστιχθέντες δεινῶς τὰ πνεύματα ἐναπέθεντο εἰς χεῖρας κύριου καὶ ὥσπερ ζῶντες ἐπιφαίνονται πᾶσι τοῖς ἐν ὀδύναις καὶ συμφοραῖς κρατουμένοις ἐν τάχει λυτρούμενοι· ὡσαύτως τοὺς διαπράττειν τὰ κακὰ βουλομένους κωλύουσι· διὸ καὶ Γότθον τὸν ἔχθιστον ἐθανάτωσαν πίστει μὴ κράζοντα· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 4.76 Τὴν ἀδικίαν ἐν προαιρέσει ὁ παμπόνηρος ὄφις κεκτημένος ἀεὶ ἐφεῦρε σκεῦος ἐπάξιον ἄνδρα ἀλλόφυλον μὲν τῷ γένει καὶ ἀπάνθρωπον ὄντα τῇ προαιρέσει· τοῦτον κακῶς διεγείρας πρὸς γύναιον ἄπορον ὀχλῆσαι καθυποβάλλει τὴν αὐτῆς θυγατέρα ἐκδώσασθαι τῷ ἀκολάστῳ πρὸς ἔννομον γάμον, ὅπως μὴ κράξῃ σὺν τῇ μητρί· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 5.76 Ἀκολασίᾳ οὖν ὁ κακόφρων κρατηθεὶς ὑποφαίνει τῷ γυναίῳ εὐθὺς τὴν ἄδικον νῦν ἐνθύμησιν, λόγοις ποικίλοις καταμαλάσσων τὴν καρδίαν αὐτῆς καὶ καταφέρων ὅρκοις αὐτὴν πρὸς τὴν γνώμην αὐτοῦ ὑπισχνούμενος, μὴ ὅλως σύμβιον ἔχειν, ἀλλ᾽ αὐτήν τε καὶ μόνην δεσπόζουσαν παντὸς τοῦ οἴκου ὑπάρχειν αὐτοῦ, ἐὰν παύσῃ κραυγάζειν ἀπὸ ψυχῆς· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 6.76 Λόγοις πεισθεῖσα ἡ θρεψαμένη μιαρᾷ συναφείᾳ τῷ ἀνόμῳ ἀνδρὶ καταπιστεύει ἣν ἔτεκεν· ὅθεν εἰς τὰ ἴδια ἐπισπεύδει πορευθῆναι, φησί, σὺν τῇ παιδίσκῃ ὁ τῶν ἰδίων ὅρων τῆς φύσεως παραδραμών· καὶ πάλιν ἤρξατο δόλῳ τὴν μητέρα τῆς κόρης παρενοχλεῖν τοῦ δοῦναι ταύτην ἔνθα βούλεται πορευθῆναι καὶ παύσασθαι τοῦ βοᾶν· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 7.76 Ἅμα δὲ ἤκουσε τῶν ῥημάτων τούτων ἡ πιστοτάτη πρὸς αὐτὸν εὐθαρσῶς τοιούτους λόγους ἐφθέγξατο· „Ἄπιθι, ἄνερ, μή με βιάζῃ· οὐ γὰρ καταπιστεύω σοι τὴν κόρην, εἰ μὴ αὐτοὺς τοὺς ἁγίους ἐγγύους παράσχῃς μοι· αὐτοί γαρ πέλουσι τεῖχος ὀχυρὸν καὶ ἀντίληψις πάντων ἡμῶν τῶν ἐν τῇ πόλει οἰκούντων πιστῶν καὶ τῶν πόρρωθεν πόθῳ κραζόντων θερμῶς· |:‚Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά‘.“:|

book 8.76 Ῥῆσιν τοιαύτην ὁ δολιόφρων τοῦ γυναίου ἀκούσας, εἰσελθὼν ἐν ναῷ τῶν ἀθλοφόρων ἐξώμνυεν, ὅτι πατέρα ἄλλον ἐν βίῳ καὶ μητέρα εὑρήσει ἐν ἀναπαύσει, γένος τε οὖν καὶ πατρὶς ἐπὶ γῆς μακαρίσει αὐτήν· ἐκ τούτων οὖν τῶν ῥημάτων τῷ ἀνόμῳ πειθήνιος γέγονε, τὴν κόρην ὅπως ἐκδώσηται ἐκ χειρῶν τῶν ἁγίων κραυγάζουσαν· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 9.76 Ὢ τοῦ φρικτοῦ καὶ ξένου ἐκείνου πράγματος τοῦ συμβάντος ἐν τῷ φθάνειν αὐτοὺς πατρίδα γένος τε ἄθεον· ὅλος εὐθὺς ἐν ἀπανθρωπίᾳ γεγονὼς καὶ τῶν ὅρκων καταφρονήσας, βρύξας ὡς θὴρ αὐστηρῷ τῷ προσώπῳ ἐβόησε· „Γνωστόν σοι ἔστω, ὦ κόρη, γαμετήν τε καὶ τέκνα ὑπάρχειν μοι· ζωὴν τὴν σὴν νῦν προνόησον καὶ ὡς δούλην σαυτὴν μεταποίησον.“ |:Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.:|

book 10.76 Μόγις ἡ κόρη ὄμματα τότε ἀτενίσασα ἄνω σὺν δακρύων κρουνοῖς βαρεῖα τε ὀλολύξασα καὶ τὸν χιτῶνα ὅλον δακρύων ἐκπληροῦσα ἐβόα τῷ μιαιφόνῳ· „Εὐχαριστῶ τῷ θεῷ τῷ εἰδότι τὰ κρύφια ὁμοῦ τε καὶ τοῖς ἁγίοις Σαμωνᾷ τε Γουρίᾳ καὶ Ἀβιβῳ· αὐτοῖς γὰρ ὄντως θαρρήσασα σοὶ ἐδόθην προθύμως κραυγάζουσα· |:,Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά‘.“:|

book 11.76 Ἄρας αὐτῆς εὐθὺς τὸν χιτῶνα, καθ’ ὃν τρόπον οἱ πρώην ἀδελφοὶ Ἰωσὴφ ἐκδύσαντες τὸν πανθαύμαστον, σχῆμα δουλείας περιβαλών τε καὶ τὸ ξίφος γυμνώσας ὁ παραβάτης ἔφη αὐτῇ μηδενὶ τὸ συμβὰν διηγήσασθαι, ἐν πάσῃ δὲ ταπεινώσει τοῖς οἰκείοις δουλεύειν προσέταττεν· αὐτὴ δὲ πάντα ὑπείκουσα οὐ διέλειπε πίστει κραυγάζουσα· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 12.76 Νύττεται αὖθις ὑπὸ τοῦ φθόνου ἡ τοῦ Γότθου γυνὴ ἀεὶ αὐτὸν ἐξετάζουσα· „Πόθεν τὴν κόρην ἤγαγες ὧδε;“ ἤ· „Ἐκ ποίων γονέων ἔφυ, ἣ ἐμὲ ὑπερβάλλει τῷ κάλλει;“ δούλην, φησίν, ἀπεφθέγξατο εἶναι ὁ ἄνομος· „Ἐν τούτῳ γὰρ καὶ ἐπέστη εἰς δουλείαν τὴν σὴν καὶ τῶν τέκνων μου· ἔχέ οὐν ταύτην ὡς βούλει συ· οὐ γὰρ ἔτι ἐπίσταται τοῦ ἐκβοᾶν· |:,Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά‘.“:|

book 13.76 Ὅλος ὁ χρόνος παρεληλύθει τῶν ἀθέσμων πραγμάτων καὶ ἡ αἰχμάλωτος παῖς παιδίον ἄρρεν ἐγέννησε τὸν χαρακτῆρα ὅμοιον φέρον τοῦ ἀνόμου καὶ πλάνου καὶ παραβάτου· ὅθεν ἡ σύζυγος τούτου τῷ φθόνῳ συνείχετο καὶ πᾶσαν μηχανουργίαν ἐπεδείκνυτο τούτῳ σὺν τῇ μητρί. 〈–(–)〉 „Θανατῶσαι σπουδάζετε μὴ βοᾶν· |:,Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά‘.“:|

book 14.76 Ὑπὸ τοῦ ζήλου ἐκκαιομένη ἐπιτρέπει τῇ κόρῃ ἡ τοῦ Γότθου γυνὴ τοῦ καταλεῖψαι τὸ νήπιον· ἣ δηλητήριον στόματι τούτου ἐμβαλοῦσα ἀκάκου ψυχὴν ἀφεῖλεν, ἰὸν τὸν αὐτῆς, ὥσπερ ⟦ὁ⟧ ὄφις, δολίως κενώσασα, σὺν τούτῳ καὶ ἐν τῷ σκότει πορευθεῖσα καρποὺς καταφάγεται χειρῶν αὐτῆς ἡ πανάθλιος· οὐ γὰρ εὕρῃ ἡμέραν τοῦ ἐκβοᾶν· |:,Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.‘:|

book 15.76 Ὡς οὖν εἰργάσατο ἡ κακίστη τὸν παγκάκιστον φόνον καὶ αὐτὴ τὸ αὐτὸ εἰσπέπωκε δηλητήριον· ὅθεν οἱ ταύτης γονεῖς κινοῦνται τὴν μητέρα τοῦ βρέφους θανάτῳ δοῦναι· καὶ ἐν δεινῷ κατακλείουσι τάφῳ· ἣν ἥρπασαν Γουρίας ὁ θεοφόρος Σαμωνᾶς τε ὁ θεῖος καὶ Ἄβιβος· καὶ τῇ σορῷ τῇ ἰδίᾳ παρέστησαν ἀνυμνοῦσαν πιστῶς καὶ κραυγάζουσαν· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 16.76 Δρόμον ἀνύσασα παρ’ ἐλπίδα, ἡ ἐν τάφῳ χωσθεῖσα καὶ τὸν τάφον σαφῶς γνωρίσασα τὸν ἐκβλύζοντα χάριν ἰάσεως τοῖς ἀνθρώποις τῷ θεῷ ἀναπέμπει τὴν ὑμνωδίαν καὶ τοῖς αὐτοῦ ὁμολογηταῖς εὐχαρίστως τὴν αἴνεσιν· συντρέχει πᾶσα ἡ πόλις σὺν τῇ ταύτης μητρὶ καὶ ὀδύρεται βοῶντες ἐν ἀλαλαγμῷ, ὅτι ὄντως ὑπάρχουσιν ⟦οἱ⟧ ἅγιοι, |:Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.:|

book 17.76 Ἡ τοῦ θεοῦ πανένδικος δίκη τὸν παμμίαρον Γότθον ἐπὶ δίκην πικρὰν ἐνάγει καὶ μὴ βουλόμενον· ὑπὸ τῆς ἄγαν γὰρ ἀδικίας τυφλωθεὶς τὴν καρδίαν ἐπὶ τὴν πόλιν τῶν θαυμαστῶν καὶ πανσόφων ἁγίων ἐπάνεισι, καὶ ξίφει καρατομεῖται τῷ ἀσβέστῳ πυρὶ ἐκπεμπόμενος, ὡς τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεὸν μὴ φοβούμενος καὶ ἀρνούμενος πάντοτε τοῦ ἐκβοᾶν· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|

book 18.76 ⟦Ἡμεῖς οὖν πάντες οἱ συγχωσθέντες ἁμαρτίας ἐν τάφῳ ὑπὸ τοῦ νοητοῦ ἐχθροῦ ἡμῶν, καταλάβωμεν τοὺς θερμοὺς προστάτας τῆς οἰκουμένης Ἄβιβον Γουρίαν σὺν Σαμωνᾷ τε, ὅπως αὐτῶν ἱκεσίαις ἀρθῶμεν μετάρσιοι τῆς χώρας τῶν ἀλλοτρίων, καὶ πρὸς τὴν ἄνω πόλιν προφθάσωμεν, ἐν ᾗ ὑπάρχουσιν ἅπαντες οἱ ἁγνῇ τῇ καρδίᾳ κραυγάζοντες· |:„Ἐδέσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά.“:|⟧

book 1.77 Ἐν τοῖς Μύροις, ἅγιε, ἱερουργὸς ἀνεδείχθης· [para]τοῦ Χριστοῦ γὰρ σήμερον τὸ εὐαγγέλιον πληρώσας ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, [para]ἔσωσας τοὺς ἀθῴους ἐκ τοῦ θανάτου· διὰ τοῦτο ἡγιάσθης |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 1.77 Ἀνυμνήσωμεν τὸν ἱεράρχην ᾄσμασι [para]τὸν ἐν Μύροις, λαοί, ποιμένα καὶ διδάσκαλον, [para]ἵνα ταῖς πρεσβείαις αὐτοῦ ἐλλαμφθῶμεν. ἰδοὺ γὰρ ὤφθη ὅλος καθάρσιος ἀκήρατος πνεύματι, Χριστῷ προσφέρων θυσίαν ἄμωμον [para]τὴν εἰλικρινῆ θεῷ εὐπρόσδεκτον· ὡς ἱερεὺς γὰρ κεκαθαρμένος [para]τῇ 〈τε〉 ψυχῇ καὶ τῇ σαρκί, ὅθεν ὑπάρχει ἀληθῶς ἐκκλησίας προστάτης καὶ ὑπέρμαχός δε ταύτης |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 2.77 Ἰδοὺ νῦν ἑορτὴ τοῦ ἱεράρχου σήμερον· [para]λαμπρυνθῶμεν, λαοί, φαιδρῶς πανηγυρίζοντες [para]καὶ μέλψωμεν ὕμνον Χριστῷ τῷ σωτῆρι· Χριστὸς γὰρ τοῦτον δόξῃ ἐδόξασε, βροτοῖς ἐκατέλιπε φωστῆρα μέγαν πᾶσιν ἐκλάμψαντα [para]ὡς ἱερουργὸν τῶν μυστηρίων αὐτοῦ· ὡς εὐσεβείας πλήρης ἐργάτης [para]καὶ ἀντιλήπτωρ θαυμαστὸς τοῖς ὀρφανοῖς ἀναδειχθεὶς καὶ προστάτης χηρῶν τε· καὶ πρεσβεύεις ὑπὲρ πάντων |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 3.77 Νίκης ὅπλον λαβὼν ὁ ἱεράρχης σήμερον, τὸν σταυρὸν τοῦ Χριστοῦ, ἀνόμους γὰρ κατέβαλε καὶ ἔσωσεν ἄνδρας ἀθῴους τῇ κρίσει· αὐτὸν δὲ Μύροις δόξαν μετέδωκε τὰ θεῖα ὀψώνια, καθὼς καὶ Παῦλος πᾶσι μετέδωκε τὰ ⟦θεῖα⟧ προστάγματα· ⟦ἔπειτα δὲ νῦν⟧ ὅλος καθάρσιος ἐν οὐρανίοις ⟦δὲ⟧ νῦν ἐμβατεύων, τὸ θεῖον ᾆσμα ἐκτελῶν περιαστράπτει τοῖς ἐν γῇ [para]αἱμάτων ἀκτῖνας, κἂν σώματι ἐτεθνήκει |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 4.77 Ὁ ποιμὴν ὁ καλὸς τοὺς ἄρνας προσεκάλεσε [para]καὶ ζωγρήσας αὐτοὺς ἔνδον τῆς μάνδρας κέκλεικεν, [para]ἁρπάσας δε τούτους ἐκ τοῦ ἀλλοτρίου στερρᾷ σφενδόνῃ τοῦτον κατέτρωσε τὸν πᾶσι πολέμιον· αὐτὸς οὖν πάλιν νίκην ἀράμενος, [para]ὥσπερ καὶ Δαυῒδ κατὰ τοῦ Γολιάθ, λιθοκτονήσας καὶ καταβάλλων [para]πάσας αἱρέσεις δολεράς, τοῦ Σαβελλίου τοῦ δεινοῦ, Νεστορίου, Ἀρείου καὶ ⟦τῶν⟧ λοιπῶν αἱρεσιάρχων, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 5.77 Στολισμὸν ἀρετῆς σαφῶς περιβαλλόμενος, ὥσπερ ἄλλος Μωσῆς ὁ μέγας ἐν τῇ χάριτι, Νικόλαε πάτερ, εἰσῆλθες ἐν γνόφῳ ἐν τοῖς ἀδύτοις· ὅλος μετάρσιος διῆλθες, πανένδοξε, τῇ θείᾳ δόξῃ καταυγαζόμενος, καὶ μετὰ Ἀ̲α̲ρ̲ὼν καὶ Σαμουὴλ καὶ Λευῒ τῇ τάξει τούτων ἱερατεύεις [para]Χριστῷ τῷ πάντων λυτρωτῇ, ἱερομύστα, εὐκλεῶς· διὰ τοῦτο ἀγγέλοις ἐν φωτὶ ὢν συναυλίζει, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 6.77 Καιρὸς νῦν ἐξειπεῖν τὰ θεῖα μεγαλεῖα σου, [para]ἀλλ’ οὐδεὶς ἱκανὸς πρὸς εὐφημίαν λέξαι σοι· [para]ὅτι μυροθήκη Χριστοῦ ἀνεδείχθης, μυρίζων πάντας τούς σοι προστρέχοντας τῷ μύρῳ τῆς χάριτος τοῦ παναγίου πνεύματος, ὅσιε, [para]μύρῳ νοητῷ, μύρῳ φωτίζοντι τοὺς πίστει τούτῳ μυριζομένους [para]καὶ χριομένους ἀληθῶς τὸ θεῖον μύρον τοῦ Χριστοῦ· ὅθεν Μύροις ἐδείχθης ἀντιλήπτωρ, ἱεράρχα, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 7.77 Ἄλλος ὥσπερ Μωσῆς ἐδείχθης, ἱερώτατε, [para]ἐν τῷ γνόφῳ εἰσδὺς τῶν ἀρετῶν, θεόπνευστε· [para]ἐκεῖνος γὰρ νόμον ἐδέξατο θεῖον, αὐτὸς δέ, πάτερ, ὅλον δεξάμενος τοῦ νόμου τὸν κύριον χερσὶν ἀθῴοις τοῦτον ἐμέλησας, [para]πιστοῖς μεταδοὺς θεῖα ὀψώνια ὡς ἱερεύς τε Χριστοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπάρχων [para]καὶ ἐναντίον τοῦ θεοῦ ὥσπερ Ἀαρὼν καὶ Σαμουήλ· διὰ τοῦτο τ’ ἐκλάμπεις καὶ φωτίζεις τοὺς ἐν πίστει, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 8.77 Ἱερὸς γὰρ ἡμῖν ὁ ἀκριβὴς διδάσκαλος [para]ἐκδιδάσκει σαφῶς τὴν γνῶσιν τῶν θαυμάτων αὐτοῦ, [para]τῆς ἀθεωρήτου σοφίας τὴν χάριν· αὐτοῖς γὰρ πᾶσι πλοῦτον διένειμεν, ἐσκόρπισεν, ἔδωκε, τοῖς δεομένοις ὅλως ἐπήρκεσε, [para]καθὼς ἐκβοᾷ ὁ θεοπάτωρ Δαυΐδ· „Τὸ κέρας τούτου ἐν δόξῃ ἔσται [para]καὶ ὑψωθήσεται φωτί, ὅπως τῆς θείας λαμπρυνθῇ καταυγάσεως οὗτος καὶ πρεσβεύῃ τῷ κυρίῳ, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.“:|

book 9.77 Ὁ τὴν γῆν, ἀγαθέ, ἐφ’ ὑδάτων πηξάμενος, [para]στήριξόν μου τὸν νοῦν εἰς τὸν φόβον σου, κύριε, [para]τοῦ λέγειν καὶ πράττειν τὰ συμφέροντά μοι καὶ καταγγέλλειν βίον ἐνάρετον τοῦ Μύροις οἰκήσαντος καὶ μύρον θεῖον ἐκ τῆς ψυχῆς αὐτου [para]ὥσπερ ποταμὸν ἀναπηγάσαντος, μυρίζον πάντας τοὺς δυσωδίᾳ [para]ἁμαρτημάτων χαλεπῶν νενοσηκότας τὰς ψυχὰς καὶ ἡδῦνον τοὺς φθόγγους καὶ τοὺς τρόπους τῶν βοώντων·

book 9.77 |:„Ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.“:|

book 10.77 Ψήφῳ προγνωστικῷ γεννηθείς, ἱερώτατε, [para]ἐπὶ πόδας εὐθὺς ἔστης ὀρθός, Νικόλαε, [para]δεικνύων ἐν τούτῳ, ὅτι συμπατήσεις τὴν ἐπηρμένην ὀφρῦν τοῦ δράκοντος καὶ στήσεις τὴν ἄμετρον αὐτοῦ κακίαν τοῦ μὴ προβαίνειν νῦν [para]ἐπὶ τοὺς ἐν σοὶ πιστῶς προσφεύγοντας καὶ ἀνυμνοῦντας τὴν ἱεράν σου [para]καὶ φωτοφόρον ἑορτήν, ἣν ἐμεγάλυνε Χριστὸς ὁ καλέσας σε, πάτερ, ἱερέα καὶ ποιμένα, |:τὸν μέγαν μύστην θεοῦ τῆς χάριτος.:|

book 11.77 Ἀμβακοὺμ μὲν τὸ πρὶν πρὸς προφήτην ἐστέλλετο [para]ἐπιφέρων τροφὰς ἐν τῷ λάκκῳ, ὡς γέγραπται· [para]αὐτὸς δέ, θεόφρων, ἰσόμοιρον δρόμον διατελέσας, πόλιν προέφθασας, ἐν ᾗ οἱ κατάκριτοι ἀδίκῳ ψήφῳ ὥσπερ ἐν λάκκῳ νῦν [para]ἔνδον τῆς φρουρᾶς δεινῶς κατείχοντο, καὶ τοῦ θανάτου αὐτοὺς ἁρπάσας [para]ζωὴν προέθηκας αὐτοῖς ἀντὶ βρωμάτων δαψιλῶν· διὰ τοῦτο, σωθέντες παρ’ ἐλπίδα, σὲ ὑμνοῦσιν, |:τὸν μέγαν μύστην θεοῦ τῆς χάριτος.:|

book 12.77 Λυτρωθέντες σφαγῆς ἀδικωτάτης, ἔνδοξε, [para]οἱ τὴν σὴν φοβερὰν προστασίαν καλέσαντες [para]ἐδίδαξαν πάντας καλεῖν ἐν κινδύνοις τὸ ὄνομά σου καὶ ἀπαλλάττεσθαι συμφορῶν καὶ θλίψεων, ἐξ ὧν προφθάσας ῥῦσαι τοὺς δούλους σου [para]τοὺς ἐν τῷ ναῷ τῷ σῷ κραυγάζοντας· „Μὴ ἐπιλάθῃ ⟦ἡμῶν⟧· ἐν σοὶ γὰρ πᾶσαν [para]φροντίδα ψυχικὴν ἡμῶν καὶ τὴν τοῦ σώματος πιστῶς ἀνεθέμεθα, πάτερ, καὶ ὑμνοῦμεν σε ἀπαύστως, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.“:|

book 13.77 Μιμητὴς τοῦ Χριστοῦ κατὰ πάντα γενόμενος [para]τὴν ψυχήν σου, σοφέ, ἔθηκας ὑπὲρ ποίμνης σου ἀεὶ κινδυνεύων ὑπὲρ ταύτης, πάτερ· διὸ καὶ πάντες οἱ ποιμαινόμενοι τῇ ῥάβδῳ τῆς γλώττης σου τῆς σῆς γλυκείας φωνῆς ἀκούοντες [para]ἐγίνωσκον αὐτὴν καὶ ἠκολούθουν σοι τοῦ ἀλλοτρίου ἀποχωροῦντες [para]καὶ πρὸς μονὰς τὰς σὰς πιστῶς κατασκηνοῦντες ὁμαδόν, μεθ’ ὧν ἅπαντας ἥμας ἐπιτήρει σαῖς πρεσβείαις, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 14.77 Ὁ Θεσβίτης ποτὲ ἐπιδίφριος ἤγετο, [para]σὺ δέ, πάτερ, ταῖς σαῖς ἀρεταῖς ὡς ἐν ἅρματι [para]ἐπιβὰς ἀνῆλθες ἔνδον τῶν ἀδύτων, μηλωτὴν ἄλλην ἐγκαταλείψας σου τὸ σῶμα τὸ ἄμωμον, ἁμαρτημάτων πέλαγος σχίζοντα [para]καὶ τὰς ἀμοιβὰς διπλασιάζοντα τοῖς σοῖς οἰκέταις, ὡς Ἐλισσαίῳ [para]ἦλθεν ἡ δύναμις δισσῶς τοῦ παναγίου πνεύματος, οὗ ὑπάρξας δοχεῖον ἐδείχθης, θαυματοφόρος, |:καὶ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 15.77 Σταυροτύπως Μωσῆς τὸν Ἀμαλὶκ κατέβαλεν [para]καὶ σὺ διὰ σταυροῦ τὸν διάβολον ἔρρηξας· [para]διὸ καὶ τὸν παῖδα, ὃν ἤμελλον ἄφνω ἀπονεκρῶσαι, ζῶντα παρέστησας εὐχαῖς σου, Νικόλαε, καὶ τῇ ἰδίᾳ χώρᾳ ἀπέδωκας· [para]ὅνπερ οἱ λαοὶ κατανοήσαντες πίστει καὶ πόθῳ προσήρχοντό σοι [para]εὐλογηθῆναι παρὰ σοῦ, καθικετεύοντες θερμῶς· ἀλλ’ ὡς τούτοις παρέσχου, καὶ ἡμῖν τὴν χάριν δίδου, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 16.77 Τὸν σοφὸν Ἰωσὴφ μιμησάμενος, ἔνδοξε, [para]ὡς ἐκεῖνος λαοὺς ἔθρεψας καὶ ἐχόρτασας· μεῖζον δὲ τοῦ τότε τὸ νῦν πεπραγμένον· ἐκεῖνος μὲν γὰρ σῖτον ἐσκόρπιζε πλουσίως τοῖς χρῄζουσι, σὺ δέ, θεόφρον πάτερ Νικόλαε, [para]⟦τὸν⟧ λόγον τῆς Χριστοῦ ἐπαγγελίας σοφῶς εἰς τὰς καρδίας τῶν πενομένων [para]ἐπεχορήγεις ἐκβοῶν, ὅτι οὐ ζήσεται βροτὸς ἐπὶ ἄρτῳ καὶ μόνῳ· ὅθεν πιστῶς σε ἀνευφήμουν |:ὡς μέγαν μύστην θεοῦ τῆς χάριτος.:|

book 17.77 Ὀπαδὸς ἀψευδὴς τῶν ἀποστόλων, πάντιμε, [para]γεγονὼς τὴν αὐτῶν πολιτείαν ἐζήλωσας, [para]Νικόλαε πάτερ, σοφὲ ἱεράρχα· διὸ καὶ πάντα πᾶσι γενόμενος τοὺς πάντας ἐκέρδησας· τούς μεν πλουσίους ἐν αὐστηρότητι [para]μὴ κακοποιεῖν ἀεὶ ὠθούμενος, πτωχοὺς δὲ πάλιν παιδεύων φέρειν [para]μετὰ χαρᾶς τοὺς πειρασμοὺς καὶ ἀναμένειν τὸν μισθόν, ὃν παρέχει ὁ μόνος ἐλεήμων, ὁ ⟦σὲ⟧ δοξάσας |:τὸν μέγαν μύστην θεοῦ τῆς χάριτος.:|

book 18.77 Ὑπὸ τῆς ὑψηλῆς ταπεινώσεως, ἅγιε, [para]τὴν ψυχὴν δεσμευθείς, ὀργιζόμενος πώποτε [para]οὐδόλως ἐφάνης κατὰ τοῦ πλησίον· τὸν γὰρ ἑτέρως δόγμα ἀλλόφυλον τῇ πίστει συνάπτοντα ἐξουθενήσας καὶ ἀπωσάμενος, [para]ὕστερον αὐτῷ πραέως ἔφησας· „Δεῦρο, ἑταῖρε, διαλλαγῶμεν, [para]ἵνα ὁ ἥλιος ἡμῶν μὴ ἐπιδύσῃ τῇ ὀργῇ.“ διὰ τοῦτο καὶ φίλος ἀνεδείχθης τοῦ κυρίου, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 19.77 Ῥύπον βίου φυγὼν τὴν ἁγνείαν ἐνδέδυσο [para]καί, ὡς ψάλλει Δαυῒδ ὁ μέγας ἐν τῷ πνεύματι, [para]ἀθῷος τὰς χεῖρας ἐνίψω, θεόφρων, κυκλῶσαι θέλων θυσιαστήριον τὸ πᾶσι σεβάσμιον, ἐν ᾧ ἀμέμπτως, πάτερ, θυόμενος τὸν ἀμνὸν θεοῦ ἐδείχθης πάσῃ ⟦τῇ⟧ γῇ, Ἀ̣α̣ρ̣ὼν ὡς ἄλλος στολὴν οὐ πλύνων, [para]ἀλλ’ ἀπαλείφων συμφορὰς τοῦ πιστοτάτου σου λαοῦ· διὸ σπεῦσον καὶ φθάσον, σῶσον ἥμας σαῖς πρεσβείαις, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 20.77 Ὡς δογμάτων ὀρθῶν φύλαξ ὢν ἀκριβέστατος, [para]τοὺς ἑτέρως φρονεῖν ἐπιχειροῦντας ἤλασας [para]ἐκ τῆς τοῦ κυρίου αὐλῆς, ἱεράρχα, καὶ τῇ σφενδόνῃ τῶν σῶν ἐντεύξεων αὐτοὺς ἐθανάτωσας· διὸ καὶ κλέος ἄνωθεν εἴληφας, [para]βασιλεῦσι γῆς ζῶν ἐπιφαίνεσαι καὶ μετὰ τέλος ὡς ζῶν προφθάνεις [para]καὶ ἀπαλάττεις πειρασμῶν τοὺς τὸ σὸν ὄνομα πιστῶς ἐν κινδύνοις καλοῦντας, Νικόλαε· σὺ γὰρ πέλεις |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 21.77 Μὴ βραδύνῃς τὴν σὴν προστασίαν δωρήσασθαι [para]τοῖς ἐν πίστει θερμῇ χρῄζουσι ταύτην, πάντιμε· [para]ἀεὶ γὰρ σὲ πάντες προστάτην καὶ ῥύστην ἐν πειρασμοῖς τε καὶ περιστάσεσι συνήθως προβάλλομεν, πεπειραμένοι τῆς σῆς ταχύτητος [para]καὶ τῆς συμπαθοῦς στοργῆς σου, ἅγιε, πῶς παρ’ ἐλπίδα δι’ ὀνειράτων [para]ἄνδρας ἐρρύσω τῆς φρουρᾶς θανατωθῆναι μέλλοντας ἐπὶ μνήμης δὲ μόνον ⟦τὸ⟧ ὄνομά σου κεκτημένους, |:τὸν μέγαν μύστην θεοῦ τῆς χάριτος.:|

book 22.77 Ἀθυμία πολλὴ νῦν ἡμᾶς διεδέξατο [para]ἐξ ἀμέτρων κακῶν καὶ οὐκ ἔστιν ἀνάνευσις· [para]ἀλλὰ σὺ προφθάσας, Νικόλαε πάτερ, κεκακωμένους ἐξ ἀπογνώσεως καὶ ᾋδῃ ἐγγίζοντας ῥῶσιν παράσχου τῆς ἐν σοὶ χάριτος φάρμακον τιθείς, θεομακάριστε, τῆς μετανοίας τὸ γλυκὺ πόμα [para]καὶ ἀναψῦχον εὐχερῶς τῇ τῆς ἐλπίδος ἀσφαλεῖ προσδοκίᾳ, 〈νῦν〉 ὅπως σῳζόμενοι σὲ ὑμνῶμεν |:ὡς μέγαν μύστην θεοῦ τῆς χάριτος.:|

book 23.77 Νενευκότες πρὸς γῆν καὶ ψυχῇ καὶ τῷ σώματι [para]προσκαλούμεθα σοῦ τὴν ὀξεῖαν ἀντίληψιν· [para]θανάτου ῥομφαία ἡμᾶς γὰρ συνέχει καὶ τυραννοῦσιν ἐχθροὶ ἀσώματοι, Νικόλαε ὅσιε· οὓς σὺ προφθάσας δεῖξον ἀνίσχυρον [para]γνώμην δολερὰν καὶ ὑψηλόφρονα, ταπεινῶν κέρας, ὑψῶν ἐν πᾶσι [para]τῶν εὐφημούντων σου πιστῶς τὴν παναγίαν ἑορτὴν ἐξ ἀγάπης καρδίας καὶ καλούντων ⟦τὸ⟧ ὄνομά σου, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 24.77 Οὐδεὶς ἐν πειρασμοῖς σὲ ποτὲ προσεκάλεσε [para]καὶ τὴν λύσιν εὐθὺς οὐκ ἐδέξατο, ἅγιε· [para]τοὺς μὲν ἐν θαλάσσῃ τοὺς δὲ ἐν τῇ γῇ γαρ οὐ διαλείπεις σῴζων ἑκάστοτε, ὡς ἔχων τὸ δύνασθαι παρὰ τοῦ μόνου πάντα ποιήσαντος [para]καὶ νῦν τὴν ἰσχὺν δεδωρημένου θεοῦ· τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῦ δούλοις ὡς ὁ προφήτης [para]μεγαλοφώνως ἐκβοᾷ· „Τῶν φοβουμένων τὸν θεὸν ἐκπληρώσει τὴν γνώμην·“ ὧν καὶ αὐτὸς εἶς ὑπάρχεις, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 25.77 Ὑλικῶν ἀφορμῶν οὐ προσίεσαι στέφανον [para]ἐκ χειρὸς τοῦ θεοῦ κομισάμενος, ἔνδοξε, [para]τὰ γέρα τῆς νίκης, Νικόλαε πάτερ· ἀλλ' ὡς ὑπάρχων ἀεὶ φιλόστοργος τὸν ὕμνον νῦν πρόσδεξαι, ὃν ἐξ ἀπόρων χειλέων ἔπλεξα, μύρῳ σῶν εὐχῶν τὸ τῆς καρδίας μου δυσῶδες ἅπαν καταμυρίζων, [para]καὶ καταρδεύων μου τὸν νοῦν ὄμβροις τοῦ θείου πνεύματος τοῦ δοξάζειν ἀεί σε εἰς αἰῶνας καὶ ἐπ' αἰῶνας, |:ὁ μέγας μύστης θεοῦ τῆς χάριτος.:|

book 1.78 Ὁ ἐπινίκιος αὐλός, ἱεράρχα, [para]τῶν Σεραφὶμ ἡ φοβερὰ ὑμνῳδία, [para]ὥσπερ λαβὶς σοῖς χείλεσι, Νικόλαε, ἄϋλος, ἀέναος ἠχητικῶς διεδόθη· ὅθεν ὑποφήτην σε ἀναδεῖξαν τὸ θεῖον τῇ οἰκουμένῃ ἔλαμψας ἀεὶ |:τοῖς ἐν ἀνάγκῃ προστάτης ἀήττητος.:|

book 1.78 Ὡς τῆς σοφίας ἀρχηγὸς καὶ πλάστης τῶν αἰώνων καὶ φῶς ἐκ φωτὸς πέλων, [para]ἀνάνδρου ἐκ παρθένου καὶ ἐπ' ἐσχάτων σαρκωθείς, σέλας ἑωσφόρον εἰς κευθμῶνας ὡς θεὸς ἀνέτειλας ἐν πνεύματι, νιφάδων ἐξ ἀρκύων ὠθούμενος πρὸς ἐπίγνωσίν σου ἅπαν γένος τῶν ἀνθρώπων· καὶ νῦν κἀμοῦ διάλυσον, Λόγε, τῆς γλώττης τὴν στερρὰν βραδύτητα, ὅπως [para]μεγαλύνω αἰνετῶς τοῦ ἱεράρχου θαύματα φρικτά· ἐδείχθη γὰρ πάσῃ κτίσει |:τοῖς ἐν ἀνάγκαις προστάτης ἀήττητος.:|

book 2.78 Δυνάμει θείᾳ ὁπλισθεὶς κατὰ τοῦ ἀρχεκάκου σθένει τῆς ἀκροτόμου, [para]ἐν Μύροις διαλάμψας ὥσ〈περ〉 σοφὸς ὑπασπιστὴς [para]ἄγαλμα καθεῖλες τῇ ἐντεύξει πρὸς θεόν, Νικόλαε πανθαύμαστε· ὁ υἱὸς τῆς μαινάδος, ὡς ἔγνωμεν, ἄπονος ἐδείχθης ἐξ ἀπάτης τῶν ἀθέων καὶ λειτουργὸς τῶν Χριστοῦ μυστηρίων. διό σε δυσωπῶ λιταῖς σου ἀόκνοις· [para]διασκέδασον κἀμοῦ τὴν ἀσαφείαν, ἵνα εὐθαρσῶς ὑμνήσω σε ὡς τοῦ κόσμου |:τοῖς ἐν ἀνάγκαις προστάτην ἀήττητον.:|

book 3.78 Ἡμῶν τὸ σέβας ὡς ἀεὶ καὶ ὅπλον σωτηρίας καὶ δόξης τε ταμίαν [para]καὶ τέρασι φρουρέα καὶ τῶν ἀρρήτων λειτουργὸν [para]στέφομεν ἐπαίνοις, ὡς τῶν νοερῶν οὐσιῶν ὑφέστιον τυγχάνοντα καὶ μύστην τῶν ἀδύτων θεόληπτον, πάντες οἱ ἐν πόθῳ ἐντυχόντες τῶν θαυμάτων τῆς ἱερᾶς αὐτοῦ ἐμφανείας, ὡς εἶπεν ὁ θεός· „Ἐγὼ ἐν τοῖς δούλοις [para]τοῖς ἐμοῖς θαυματουργῶ πᾶσιν ἀνθρώποις ξένα φοβερά· Νικόλαον δὲ γνωρίζω |:τῶν ἐν ἀνάγκαις προστάτην 〈ἀήττητον〉.“:|

book 4.78 Ῥαστώνην πάλαι ἡδονῶν μειώσας καὶ καθάρας ψυχήν τε καὶ τὸ σῶμα [para]ἐννόμως καὶ ἐνθέως τὰς σὰς ἐντεύξεις ἐκπληρῶν, μύροις ἐκμυρίζων τὸν λαὸν τὸν τοῦ θεοῦ τοῖς λόγοις καὶ τῷ βίῳ σου, Νικόλαε, ἱεράρχα καὶ σύσκηνε τῶν σοφῶν, τοῦ μόνου καὶ ἀνάρχου βασιλέως καὶ φαεινὸς προϋγέτης θαυμάτων, ⟦τὴν⟧ ἀντίληψιν τὴν σὴν ἐμφαίνεις 〈τοῖσ〉 πᾶσιν [para]καὶ θανάτου καὶ φθορᾶς λύεις τοὺς πέλας πνεύματι θεοῦ δεικνὺς αὐτὸν ἀοράτως |:τοῖς ἐν ἀνάγκαις 〈προστάτην ἀήττητον〉.:|

book 5.78 Ὤφθης ἐν μέσῳ ὀρφανῶν φωστήρ τε καὶ ἀκέστωρ καὶ πάσης προμηθείας [para]χηρῶν τε ἀντιλήπτωρ καὶ σοβαρῶν σωφρονιστής· [para]αὖθις δὲ καὶ νέων προσφυγὴ καὶ σταθηρὰ ἀντίληψις, Νικόλαε, θυμοῦ δὲ ἀναιρέτης καὶ ἐκτομεὺς τότε τῶν κρατούντων ἐν τοῖς Μύροις ὑπερζέων ὁ σοφός, πᾶσιν ἀρχιέπης, φυτὸν ἀειθαλὲς περκάζον τὰ ἄνθη, [para]ὡς σμαράγδοις νοητοῖς ἐξωραΐζεις πᾶσαν ἀκοὴν καὶ λάμπεις ὡς ἑωσφόρος |:τοῖς ἐν ἀνάγκαις προ〈στάτης ἀήττητοσ〉.:|

book 6.78 Μεταναστεύων τῶν ἐκ γῆς, Νικόλαε, ὁρίων, τῆς ἄνω βασιλείας [para]τὰς θείας νῦν εἰσόδους ἐπιπολεύσας νοερῶς, [para]ἔθου τὴν ψυχήν σου ὡς ὁ σὸς ὑπὲρ λαοῦ διδάσκαλος καὶ κύριος. καὶ πρὸ τάφου καὶ ἐν τάφῳ ἰσούμενος πᾶσιν ἐπιφθάνεις τὴν ἁγίαν καὶ φωσφόρον ἀντίληψίν σου καὶ προστασίαν· τὸ μύρον γὰρ ἐν σοὶ ἐν Μύροις πηγάζων [para]τῶν θαυμάτων ἀψευδῶς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάτερ, προχέεις ῥεῖθρα τοῖς πιστοῖς καὶ φέρεις ὡς ἑωσφόρος |:τοῖς ἐν ἀνάγκαις προστά〈την ἀήττητον〉.:|

book 7.78 Ἄνακτι ἄσκιος ὀφθεὶς ἐκ Μύρων ἑωσφόρος βλεφάροις τε καὶ στέρνοις [para]ἐν μέσῳ τῆς πορφύρας αὐτοπτικῶς ὥσπερ ποιμὴν θείας νεολαίας τοὺς φρουροῦντας 〈σὺ〉 λαθὼν καὶ τούτῳ προσεφώνησας· „Μηδέν σοι προσορίσθω ἀτόπημα· γνῶθι μὲ τίς πέλω, πόθεν φαίνω· ἀπὸ Μύρων ⟦Λυκίασ⟧ προέφθασα λύων σε τῆς τόλμης· Νικόλαος ἐγὼ 〈ὁ〉 δοῦλος κυρίου· [para]τοὺς ἀδίκως ἐν φρουρᾷ κατακλεισθέντας ἔασον ἐμοὶ ζητοῦντας με, καὶ γὰρ εἴμι |:τοῖς ἐν ἀνάγκαις προστάτης ἀήττητος.:|

book 8.78 Νωθρῶν ἀπόδραθι βουλῶν, Ἀβλάβιε, τρακτεύων καθάπερ Κωνσταντῖνος, [para]τοὺς νέους ἀναιτίους μὴ διεξάγῃς ἐν φθορᾷ· [para]γνῶθι με, καὶ τάχος ἐαθῆναι αὐτοὺς εὐδόκησον ἀπήμονας· Νικόλαος γὰρ πέλω ὁ λέγων σοι· ‚Οὐ πόλεις προῆλθον βηματίζων πᾶσαν γαῖαν ἐκ τῶν ἐμῶν Μύρων ἐπηγμένος· τὰ νῶτα μου ἰδοὺ ἐν στέρνοις κυρίου [para]ἀναπέμπονται, κἀγὼ τοῦτον φορέσας ἔχομαι ἀεὶ καὶ φαίνομαι πᾶσιν ὅλοις |:τοῖς ἐν ἀνάγκαις προστάτης θερμότατοσʽ.“:|

book 9.78 Οὕτως προλέξας τοῖς πιστοῖς σκηπτούχοις ὁ θεόφρων Νικόλαος προβαίνει [para]ἐκεῖθεν ἐν τοῖς Μύροις, ὥσ〈περ〉 ποτὲ ὁ Ἀμβακούμ, [para]ἄμοχθον τὸ βῆμα συντηρῶν ὁ Ἰησοῦς καὶ τρίβον πάνυ ἔξαυρον. οἱ νέοι δὲ τὰ δῆλα δεξάμενοι τὰ τοῦ ἱερέως, τοῦ θανάτου λυτρωθέντες, ἐξώρμησαν ἐν ἀγαλλιάσει λαβόντες οἱ πιστοὶ τὰ γέρα τὰ θεῖα, [para]μετὰ τέλος τῆς ζωῆς τῆς οὐρανίου ἄφθονον ζωὴν βιώσαντες εὐχαῖς τοῦ ὄντως |:τοῖς ἐν ἀν〈άγκαις προστάτου ἀηττήτου〉.:|

book 10.78 Ὑπὸ τὴν σκέπην σου κἀμὲ ἀγκάλισαι, θεόφρον, ὡς πάλαι καὶ τοὺς νέους, [para]Νικόλαε, εὐχαῖς σου αὐτοπτικῶς διαγαγὼν ἀπὸ τοῦ θανάτου πρὸς ζωὴν καὶ τὴν ῥευστὴν ὁμῶς καὶ τὴν οὐράνιον· καὶ νῦν αἰτῶ σε, πάτερ, διάσωσον ἐκ τοῦ βροτοκτόνου τὴν ζωήν μου καὶ κινδύνων ἐξάρπασον ταῖς σαῖς ἱκεσίαις· ὑπάρχεις γὰρ ἀεὶ ἐλπὶς ἀπορούντων [para]καὶ λιμὴν γαληνιῶν πᾶσιν ἀνθρώποις, ἄγκυρα καὶ φῶς καὶ ἔρεισμα, ὅτι πέλεις |:τοῖς ἐν ἀνάγκῃ ἀήττητος πρόμαχος.:|

book 1.79 Τῶν λαμπρῶν ἀγώνων σου ἡ φωτοφόρος ἡμέρα [para]προκηρύττει ἅπασι τὸν ἐν σπηλαίῳ τεχθέντα· τοῦτον γὰρ διψῶν ἐκ πόθου κατατρυφῆσαι [para]ἔσπευσας ὑπὸ θηρίων ἀναλωθῆναι· διὰ τοῦτο καὶ θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 1.79 Ἀβραὰμ μὲν ποτὲ τὸν υἱὸν ἐθυσίαζε [para]τὴν σφαγὴν προτυπῶν τοῦ τὰ πάντα κατέχοντος [para]καὶ νῦν ἐν σπηλαίῳ σπεύδοντος τεχθῆναι· σὺ δέ, θεόφρον, ὅλον προσήγαγες σαυτὸν ὥσπερ σφάγιον, καὶ τῶν θηρίων βρῶμα γενόμενος σῖτος καθαρὸς ὤφθης τῷ κτίστῃ σου ἐν ἀποθήκαις ἐπουρανίαις [para]διαιωνίζων ἀληθῶς καὶ τοῦ σοῦ ἔρωτος τρυφῶν, δι’ οὗ πάντα τὸν κόσμον καταλείψας θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 2.79 Ἱερῶς τῷ θεῷ ἀπὸ βρέφους προσκείμενος [para]οἰκειώθης αὐτῷ ὡς υἱὸς γνησιώτατος, [para]χειροθετηθεὶς δὲ ταῖς αὐτοῦ παλάμαις τῶν ἀποστόλων ἴσον ἐτέλεσας τὸν δρόμον, μακάριε· ἐν μέσῳ λύκων ἀποστελλόμενος [para]οἱ καὶ τὰ ὀστᾶ τὰ σὰ σπαράξαντες, θυσία ζῶσα προσεκομίσθης [para]διὰ τοῦ αἵματος τοῦ σοῦ ἐν τοῖς ὑψίστοις καὶ τυχὼν τοῦ σοῦ πόθου ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 3.79 Νηπιάζων σαρκί, πάτερ θεομακάριστε, [para]ὁ ἐν φάτνῃ σαρκὶ νηπιάσας θεός ἡμων [para]ἐνώπιον πάντων ἠγκαλίσατό σε φωνήσας τούτοις ἐξομοιοῦσθαι σοι· σαφῶς γὰρ προέβλεπεν τὴν θείαν χάριν ἐν σοὶ ὑπάρχουσαν· [para]οὓς γὰρ ὁ θεὸς αὐτὸς προώρισε, τούτους καὶ πάντως ἐκάλεσέν τε [para]καὶ συνεδόξασεν αὐτῷ· ὧν εἷς ὑπάρχεις καὶ αὐτός, ὅτι πάντα τὸν κόσμον καταλείψας θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 4.79 Ὁλικῶς τὸν Χριστὸν ἀγαπήσας, πανεύφημε, [para]ἐμιμήσω αὐτὸν ὡς ἱεράρχης ἔννομος [para]προθεὶς τὴν ψυχήν σου ὑπὲρ τοῦ ποιμνίου καὶ βασιλέων ἔμπροσθεν ἵστασο μηδ’ ὅλως πτοούμενος· ἀντὶ γὰρ πάντων, ὧν σύπερ ἔπασχες [para]κέρδος τὸν Χριστὸν εἶχες ἀδάπανον, αὐτὸν διώκων, αὐτὸν κατέχων [para]καὶ συσταυρούμενος αὐτῷ· ἱνὰ καὶ ζήσῃς ἐν αὐτῷ· διὰ τοῦτο ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 5.79 „Σῖτος εἴμι θεοῦ καθαρός,“ ἀνεκραύγαζες, [para]„καὶ σπουδάζω λοιπὸν ἀλησθῆναι δεινότατα [para]ὑπὸ τῶν θηρίων, ὅπως τῷ δεσπότῃ ἔντιμος ἄρτος ὅλος γενήσομαι καὶ τούτου θεάσομαι κάλλος τὸ θεῖον· ὃ φανταζόμενος [para]ξίφος τε καὶ πῦρ καὶ περιστάσεις δεινὰς οὐδὲν ἡγοῦμαι, Χριστὸν γὰρ ἔχω [para]ἔνδον λαλοῦντα ἐν ἐμοί· ‚Πρὸς τὸν πατέρα δεῦρο νῦν‘.“ διὰ τοῦτο ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 6.79 Ῥητορεύων, σοφέ, τὰ θεόφθεγκτα δόγματα [para]τῶν ῥητόρων πλοκὰς τῇ ἀπλόκῳ σοφίᾳ σου [para]διέλυσας, Παῦλος γενόμενος ἄλλος, ὥσπερ ἐκεῖνος πάντας τοῖς λόγοις σου στηρίζων, Ἰγνάτιε· ἐπὶ γὰρ Ῥώμην τρέχων ὡς ἥλιος [para]ηὔγασας ψυχὰς ζεζοφωμένας δεινῶς καὶ ἐπιστέλλων θαρρεῖν ἐβόας [para]ἐν τῷ Χριστῷ τοὺς τὴν αὐτοῦ ποίμνην διέποντας καλῶς· διὰ τοῦτο ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 7.79 Ὢ τῆς σῆς κορυφῆς, ἱεράρχα Ἰγνάτιε, [para]ὅτι θείας χειρὸς ἐπὶ γῆς κατηξίωται· [para]ἐντεῦθεν γὰρ ἤδη τὴν πληροφορίαν ἀπεκληρώσω τῆς πολιτείας σου καὶ θείας βιώσεως· διὸ καὶ μάρτυς χαίρων γεγένησαι [para]σκάμμα φοβερὸν τελέσας, ἔνδοξε, ὑπὲρ τοὺς ἄλλους προηθληκότας· [para]διὸ διπλοῖς σε ὁ Χριστὸς στεφάνοις ἔστεψε φαιδρῶς· διὰ τοῦτο ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 8.79 Μαθητεύσας καλῶς, θεοφόρε πατὴρ ἡμῶν, [para]τῷ υἱῷ τῆς βροντῆς ἅπασιν ἀνεπήγασας διδάγματα θεῖα ἐκ τῆς σῆς καρδίας, καὶ τοὺς ἀθέους πάντας ἐβύθισας τῷ ῥοίζῳ τοῦ πνεύματος, μισητὰς ἔχων τοὺς διεχθραίνοντας [para]πρὸς Χριστὸν τὸν σὸν ἔρωτα, ἅγιε· ὃ ἐν τοῖς στέρνοις τοῖς σοῖς βαστάζων [para]τὸ ζῆν οὐκ ἔσχες ἐραστόν, ἀλλὰ τὸ θνήσκειν ποθητόν· διὰ τοῦτο ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 9.79 Ἀρχιερατικὴν στολὴν ἐπενδυσάμενος [para]ἀληθινὸς ποιμὴν ὤφθης, ὦ 〈παμ〉 μακάριστε, [para]ἐλέγχων, διδάσκων καὶ ἐπιστηρίζων· ὅθεν παρέστης Τραϊανῷ, σοφέ, τῷ τότε ἀνάκτορι ἐλέγχων τούτου τὴν ἀθεότητα [para]καὶ τὰς ἀπειλὰς μὴ δεδιὼς τὰς αὐτοῦ, ἀλλ’ ὅλος σπεύδων πρὸς τὸ βραβεῖον [para]καὶ τὸν ποθούμενον ζητῶν χαίρων ἐπέτυχες λοιπόν· διὰ τοῦτο ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 10.79 Νόμον θεῖον τελῶν ἀθλητικῶς διέδραμες [para]ὑπὸ δέκα θηρῶν ἀνθρωπομόρφων, ἅγιε, [para]τὴν ὁδοιπορίαν ποιούμενος πᾶσαν· καὶ φθάσας, ἔνθα ἦν τὸ μαρτύριον, τοὺς θῆρας ἠρέθισας ὀδοῦσι τούτων καταβρωθῆναι σε· [para]πῦρ γὰρ τὸ ἐν σοὶ οὐκ ἦν φιλόϋλον· ὕδωρ δὲ μᾶλλον ζῶν καὶ λαλοῦν σοι· [para]„Πρὸς τὸν πατέρα δεῦρο νῦν,“ ὕδωρ ἁλλόμενον ζωῆς, ὃ διψήσας τὸν δρόμον ἐτέλεσας, καὶ θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 11.79 Ὁ θεόφρων ἡμᾶς ἑστιάσατο σήμερον [para]ἐν τῇ μνήμῃ αὐτοῦ Ἰγνάτιος· δεῦτ’ ἅπαντες τοῖς ἄθλοις τοῖς τούτου συνεστιαθῶμεν, ὅπως ταῖς τούτου θείαις ἐντεύξεσι Χριστῷ ὑπαντήσωμεν ἐν τῷ σπηλαίῳ μέλλοντι τίκτεσθαι, [para]δῶρα τε αὐτῷ ἐπικομίσωμεν πίστιν, ἐλπίδα καὶ τὴν ἀγάπην, [para]δι’ ὧν ὁ μάρτυς ἐκ τῆς γῆς ἀποχωρίσας παρ’ ἡμῶν νῦν τὸν ὕμνον ἀκούει· καὶ γὰρ ἀξίως θεοφόρος |:προσηγορεύθη Ἰγνάτιος ὁ πάνσοφος.:|

book 12.79 Ὑπὸ τῶν ἡδονῶν δεινῶς κλυδωνιζόμενος [para]καὶ τοῦ βίου κακῶς ταῖς συμφοραῖς βαλλόμενος [para]πρὸς σὲ καταφεύγω χεῖρα βοηθείας ζητῶν, θεόφρον, ὅπως σωζόμενος τὸν ὕμνον προσφέρω σοι, ὃν ἐξ ἀπόρων χειλέων ἔπλεξα, [para]νέμων μοι ἀεὶ λύσιν ὧν ἔπραξα· ὡς

ἱεράρχης γὰρ ἐξουσίαν [para]πρὸς τὸν σὸν ἔχεις ἐραστήν, δι' ὃν τὸ αἷμα σου ἐν γῇ ἐκκενώσας ἀξίως ὑπὸ πάντων θεοφόρος |:προσηγορεύθης, Ἰγνάτιε πάνσοφε.:|

book 1.80 Πρῶτος ἐσπάρης ἐπὶ γῆς [para]ὑπὸ τοῦ οὐρανίου γεωργοῦ, πανεύφημε· πρῶτος τὸ αἷμα διὰ Χριστὸν ἐπὶ γῆς ἐξέχεας, μακάριε· πρῶτος ὑπ' αὐτοῦ τὸν τῆς νίκης στέφανον [para]ἀνεδήσω ἐν οὐρανοῖς ὡς ἀθλητῶν προοίμιον, στεφανῖτα |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 1.80 Τοῦ παραδείσου τὰ ἄνθη ὁρῶν τῇ εὐοσμίᾳ αὐτῶν τῇ τερπνῇ [para]πληροῦντα πᾶσαν ⟦τὴν⟧ οἰκουμένην, καὶ τὸ ξένον αὐτῶν καταπλήττει με θέαμα· ἐν παγετῷ χειμῶνος πλέον ἀνθοῦσι μᾶλλον, ὅπερ ξένον ἐν ἄνθεσιν· [para]καὶ μάρτυς τοῦ Χριστοῦ ἐξανθήσας ὁ πρῶτος καὶ θύρα γεγονὼς τῶν νομίμως ἀθλούντων [para]καὶ ἀνθούντων κρυμῷ τῶν κολάσεων, ὁδὸν ὁ δείξας πᾶσιν ἀπλανῆ τοῖς βουλομένοις ἀθλεῖν, [para]ὁ καλὸς σταδιάρχης, ὁ τοῖς πόνοις ἀναλάμψας στεφανίτης, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 2.80 Οἱ τοῦ Χριστοῦ μαθηταὶ τὸν σεπτὸν προεχειρίσαντο διακονεῖν [para]αὐτῶν ἐν τῇ διδασκαλίᾳ ὄντων ἐπιμελῶς πρὸς τὸ τῶν ἐθνῶν κήρυγμα· πρόχορον σὺν Φιλίππῳ, σὺν καὶ τισὶν ἀνδράσιν ἐγκατέστησαν Στέφανον [para]πρὸς τὸ ὑπηρετεῖν τῶν βρωμάτων τὴν χρείαν· οὗτος δὲ ὁ καλὸς ἑστιάτωρ οὐ μόνον [para]εἰς φθορὰν τὰ χωροῦντα ηὐτρέπιζεν, ἀλλὰ καὶ τὰ ἐκτρέφοντα ψυχὴν πᾶσι παρεῖχεν ἀεὶ [para]τῶν θαυμάτων τὰ θεῖα τοῦ Χριστοῦ ἀνακηρύττων·

book 2.80 ὅθεν λάμπει |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 3.80 Ὑπὸ τῆς χάριτος ἔμπλεως ὢν καὶ τῆς δυνάμεως τῆς τοῦ Χριστοῦ [para]ἐποίει τέρατα μεγάλα καὶ σημεῖα πολλὰ τοῖς ὁρῶσιν ὁ Στέφανος· ὅθεν μορφῇ ἀγγέλου πᾶσιν ἐθεωρεῖτο λαμπρυνόμενος πάντοτε, [para]καὶ ὡς ἡλιακαῖς ταῖς ἀκτῖσι τὴν πίστιν τὴν ἐπὶ τὸν Χριστὸν κατελάμπρυνε πᾶσι [para]τοῖς τὸν λόγον τηροῦσιν ἀσάλευτον· τοὺς δὲ ἐχθραίνοντας τῷ Ἰησοῦ ἄρδην κατέφλεγεν [para]καταισχύνων τὴν τούτων ἅπασαν φρενοβλαβίαν, ὅθεν λάμπει |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 4.80 Τοῦτον συνέχοντες οἱ θεοστυγεῖς εἰς τὸ συνέδριον αὐτῶν τὸ πικρὸν [para] ⟨φησί·⟩ „Καταλυτὴς τοῦ νόμου ηὕρηται σήμερον Ἰησοῦ ὢν συνήγορος· ὕβρισε τὸν Μωσέα, ἠκύρωσε τὸν νόμον καὶ τὸν πλάνον θεὸν καλεῖ.“ [para]πρὸς ταῦτα παρευθὺς οἱ θυμώδεις· „Εἰ οὕτως ἐστί,“ φησίν, „αὐτὸς λίθοις ἀποκτανθήτω.“ [para]πρὸς οὓς ἔφη ὁ τοῦ θεοῦ ἄριστος· „Ὑμεῖς προδόται πάντοτε ἐστὲ καὶ φονεῖς· [para]ἀπεκτείνατε πάντας τοὺς προφήτας· τί οὖν ξένον κἀμὲ ⟦ἀπο⟧κτεῖναι |:τῶν μαρτύρων τὸν πρώταθλον;“:|

book 5.80 Ἅγιον δίκαιον καὶ ἀληθῶς θεὸν ὑπάρχοντα ⟨–⟩ τὸ πρὶν [para]μηδὲν ὑμᾶς ἠδικηκότα, ἀλλὰ θαυματουργοῦντα ⟦τὰ⟧ τοιαῦτα παράδοξα, ἐπρίεσθε ὁρῶντες νόσους διωκομένας οἱ νοσοῦντες ⟦τὰ⟧ ἀνίατα· [para]τυφλὸν ἐκ γενετῆς τοῦ Χριστοῦ δόντος φάος οἱ πνεύματι τυφλοὶ ἐθυμοῦσθε ἐν τούτῳ, ὃν ἀνόμως κατεπολεμήσατε· τῷ παραλύτῳ ⟦δὲ⟧ πάλιν τὰ αὐτὰ οἱ παρειμένοι τὸν νοῦν [para]ἐνεδείξασθε ὅτι κλινηφόρον ὁρᾶτε· στεφανῖτα |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 6.80 Παραδεδώκατε τοῦτον σταυρῷ ἀνθ' ὧν τιμῆσαι ἐχρῆν, ὦ φονεῖς, [para]καὶ τὴν σκληρὰν ὑμῶν καρδίαν οὐχ ἡπάλυνε κτίσις ἡ σκότος φορέσασα, οὐ νὺξ γενομένη μεσούσης τῆς ἡμέρας οὔτε ⟨τὸ⟩ καταπέτασμα [para]τὸ τοῦ ναοῦ ὑμῶν τὸ ῥαγὲν πρὶν εἰς δύο μὴ φέρον κατιδεῖν τοῦ δεσπότου τὴν ὕβριν, [para]οὔτε πέτραι οὐδὲ ⟦τῶν⟧ νεκρῶν ἔγερσις πρὸς οἶκτον ὅλον ἤγαγεν ὑμᾶς· ἀλλὰ τοὺς φύλακας [para]ἐνοθεύσατε λέγειν ὅτι κέκλεπται ἐν τάφῳ· στεφανῖτα |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 7.80 „Ἐν οὐρανῷ ἄνω σὺν τῷ πατρὶ τὸν τοῦ ἀνθρώπου υἱὸν θεωρῶ [para]ἐκ δεξιῶν,“ φησίν, „ἑστῶτα, ὃν κεκλέφθαι ἐκ τῶν μαθητῶν ἐφήσατε· πῶς οὖν ὃν ἐτηρεῖτε κάτω ἐπὶ τοῦ τάφου ἐν τοῖς οὐρανοῖς ηὕρηται;“ [para]τοιούτοις ὁ σεμνὸς ἐρητόρευσε λόγοις καὶ ἐκ πάσης γραφῆς αὐτοῖς ⟨τῆσ⟩ θεοπνεύστου [para]παριστᾶτο περὶ Χριστὸν προφητεύματα· ὅσον δὲ οὗτος

ὑψοῦτο πρὸς θεὸν τῇ ῥητορείᾳ αὐτοῦ, [para]διεπρίοντο ⟦οἱ θυμώδεισ⟧ πλεῖον καὶ ἐζήτουν ἀποκτεῖναι ⟦σε⟧ στεφα〈νίτην, |:τῶν μαρτύρων τὸν πρώταθλον〉 .:|

book 8.80 ΕΙδον αὐτὸν θαρσαλέως Χριστὸν συνηγοροῦντα καὶ ἄγαν λαμπρῶς [para]ἀπεριτμήτους τε ⟦αὐτοὺσ⟧ καλοῦντα τοῖς ὠσὶ καὶ καρδίᾳ θεῷ ἀντιπίπτοντας· ὅθεν αὐτὸν οἱ λύκοι ἥρπασαν ὡς ἀρνίον, τὸν πραότατον Στέφανον, [para]καὶ ἔξω πόλεως ἀγαγόντες ἐν λίθοις ἀπέκτεινον αὐτὸν προσευχόμενον οὕτως· „Ὦ οἰκτίρμον Χριστέ, ἐξαιτούμενος μὴ στήσῃς αὐτοῖς ταύτην, ἀγαθέ, τὴν ἁμαρτίαν αὐτῶν, [para]ἀλλὰ δέξαι τὸ πνεῦμα ⟦μου⟧· οὐ γὰρ οἶδαν τί ποιοῦσιν· στεφα 〈– |:––〉 .":|

book 9.80 Νέοις, πρεσβύταις, πλουσίοις, πτωχοῖς, σοφοῖς τε καὶ ἰδιώταις ὁμοῦ [para]ὑπέδειξεν ὁ πρωτομάρτυς βασιλείαν θεοῦ πῶς ὀφείλει τις κτήσασθαι· ἔδειξε τοῖς ἀνθρώποις τοῖς ξοάνοις μὴ θύειν, οἵτινές εἰσι δαίμονες, [para]Χριστὸν δὲ τὸν θεὸν κτίστην ὄντα τῶν πάντων, αὐτὸν δὲ προσκυνεῖν καὶ δοξάζειν καὶ σέβειν [para]σὺν τῷ τούτου πατρὶ καὶ τῷ πνεύματι· ταῦτα Στεφάνου ἔπαθλα, δι' ὧν τύπος ἐγένετο [para]τῶν θελόντων ἀθλῆσαι καὶ στεφθῆναι ἐκ χειρός θεου στεφα〈νίτης |:τῶν μαρτύρων ὁ πρώταθλοσ〉 .:|

book 10.80 Οὕτως τῷ τρόπῳ καὶ βίῳ σεμνῶς καὶ τῇ πολιᾷ διδάξας χρηστῶς [para]ὡς πρόβλημα τῶν ἀποστόλων κατ' ἐξαίρετον Πέτρου τοῦ στύλου τῆς πίστεως· 〈ὡσ〉 τράπεζα γὰρ ὤφθη τῶν ἀγαθῶν βρωμάτων νοητῶς ἐσθιόμενος· [para]οὗτος μετὰ ταφὴν πᾶσι πρόκειται ἄρτος στηρίζων ἀσφαλῶς καὶ νευρῶν ἐπιμόνως [para]πρὸς τὴν γνῶσιν ⟦τοῦ⟧ Χριστοῦ τοὺς λιμώττοντας· ἐκ σοῦπερ τρώγοντας ζωοποιοῦ κέρδους πορίζει ψυχῆς [para]τῆς ἰδίας καὶ φθάνει τὰ αἰώνια κρατῆσαι, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 11.80 Ὕμνος ἀεὶ ἐποφείλεται σοὶ ἐξ ἱερέων καὶ πατριαρχῶν, [para]ἐκ βασιλέων, ⟦καὶ⟧ μεγιστάνων καὶ ἐκ πάσης ἀρχῆς, πρωτομάρτυς πανεύφημε· ἔδειξας γὰρ τοῖς πᾶσιν ἑνὶ θεῷ προσέχειν καὶ τηρεῖν ἄνω πάντοτε· [para]καὶ γὰρ αὐτὸς τῇ σῇ καθαρᾷ καρδίᾳ κατεῖδες τὸν θεὸν ὡς Χριστὸς αὐτὸς ἔφη· τὸν θεὸν γὰρ οὗτοι ὄψονται μακαριώτερος οὗτος ἐστὶν ἢ ὁσιώτερος; [para]προτερεύεις ἁγίων τῶν ἐν πίστει ἀθλησάντων, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 12.80 Ῥήμασι τίς ἱκανεῖ εὐφημεῖν, ὅσα ἐτέλεσας τὰ θαυμαστά· [para]εἰς γῆν ἑστῶτα ὕψη πάντα, αὐτὸν τὸν οὐρανῶν ποιητὴν εἶδες ⟦ἐν δόξῃ⟧, Στέφανε, τὸν σαρκωθέντα λόγον ἐκ δεξιῶν ἑστῶτα τῆς μεγάλης δυνάμεως· [para]παρέστησας Χριστοῦ πᾶσαν οἰκονομίαν ἐν σώματι αὐτὸν ἄνω ἀναληφθέντα, [para]ὅπου ἦν καὶ προτοῦ κτίσαι ἅπαντα, καὶ πρὸ σαρκός, καὶ μέτα τὸ λαβεῖν 〈τὴν〉 σάρκα, ἔδειξας [para]ὅτι οὗτος θεὸς ἦν πρὸ αἰώνων ⟦ἅ⟧πάντα κτίσας, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 13.80 Ὥσπερ ἡμέρα ἐστὶν εὐπρεπὴς τὸ κάλλος ἔχουσα 〈τὸ〉 τοῦ φωτὸς [para]καὶ τοῦ ἡλίου τὰς ἀκτῖνας, οὕτως χάρις Χριστοῦ ἐπὶ σοὶ ἐπιλάμπουσα· ὡραῖος εἶ τῷ κάλλει, τῇ δὲ διδασκαλίᾳ φωτοφόρος ἡμέρα εἶ· [para]κατηύγασας ψυχὰς πλανωμένας ἐν σκότει καὶ ἦξας πρὸς τὸ φῶς τὸ τῆς θεογνωσίας, [para]καὶ ἐστί σοι τὸ φῶς τὸ ἀνέσπερον· ἀεὶ γὰρ λάμπεις τοῖς ἐπὶ τῆς γῆς καὶ τῇ αὐγῇ ὡς φωστὴρ [para]καὶ φωνῇ τοὺς ἀνθρώπους ⟦προ⟧τρέπεις καὶ καλεῖς φωτίσας ⟦πάντασ⟧, [para]στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 14.80 Μνήμην ἐξήρανας τῶν ματαίων καὶ τὴν ἀπώλειαν τὴν δι' αὐτῶν [para]τοῖς Ἕλλησιν ἐγγινομένην καὶ τὴν ψυχοβλαβῆ τῶν αἱρέσεων θύελλαν· τοὺς δ' ἀπειθεῖς Ἑβραίους ὡς χριστομάχους ὄντας διελέγξας κατήσχηνας· [para]ἐκείνων τῶν σκληρῶν τὴν δυσαύχενον φύσιν ἐξέτηξας τῇ σῇ θαυμαστῇ ἀντιθέσει [para]ὡς ὀξέσι βουκέντροις τοῖς λόγοις σου· κατετραυμάτισας αὐτῶν τὸν νοῦν μὴ ἐπιγνόντας Χριστὸν [para]μυκτηρίσας, μαστίξας ῥήμασι τοῖς ἐξαιρέτοις, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 15.80 Ἅπαντα ἐπαινετὰ ἦν τὰ σὰ καὶ εὔφημα, πρωτομάρτυς Χριστοῦ· [para]καὶ οὕτως τίς ἀριθμεῖν ἰσχύσει τὸ καθ’ ἓν ἐξειπεῖν; πέλουσί γαρ κατάπληκτα, καὶ ἵνα παραδράμω τὰ πλείονα τῶν πρώτων καὶ τὰ μέσα καὶ ⟦τὰ⟧ ἔσχατα [para]τῶν πολλῶν ⟦σου⟧ ἀρετῶν ὡς πηγῶν ἐκβλυζόντων γλυκεῖα νάματα τοῖς πιστῶς προσιοῦσι [para]μίαν παρεισήγαγον ἀρετήν σου, ἥτις θεὸν ἐπεύφρανε καὶ ἄγγελους ἐν τῷ οὐρανῷ ⟦καὶ τοὺς βροτοὺσ⟧ [para]ξένη οὖσα καὶ θεία καὶ εἰς ἄκρον θαυμασία, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 16.80 Νέφη στεμμάτων ἡ σὴ κεφαλὴ περιεστέφθη, ἧς ηὔξω τῶν σὲ [para]ἀποκτεινάντων ἐν τοῖς λίθοις, ὅτι ὤφθης Χριστοῦ μαθητὴς καὶ ἀπόστολος· ἐκεῖνος ἑκουσίως φέρων τὰ πάθη πόθῳ τοῖς σταυρώσασιν ηὔξατο, [para]καὶ σὺ ὑπὲρ τῶν σὲ φονευσάντων ᾐτήσω κύριον τὸν θεὸν ἄφεσιν αὐτοῖς δοῦναι [para]ὑπὲρ φόνου οὗ σοὶ κατηρτίσαντο· τίς οὖν σιγᾷ; τίς οὐκ ἀναβοᾷ ὕμνους ἐκπέμπων σοι; [para]τίς οὐ μεγαλαυχήσει; τίς τὰς χεῖρας οὐ κροτήσει, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 17.80 Οὕτως ἀνέτειλας, κῆρυξ Χριστοῦ, διδάξας τε καὶ κηρύξας παντῇ [para]ὡς ἐδιδάχθης μαθητεύσας ἐπὶ πάντα τὰ ἔθνη τὸν λόγον τὸν ἅγιον· οὕτως ἐν ἀποστόλοις ἔδραμες οὐκ ἀδήλως καὶ σὺν τούτοις ἠρίθμησαι· [para]οὕτως τὰς ἐντολὰς διετήρησας πάσας τοῦ εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων· [para]ὡς διδάσκει Χριστὸς ἀπεπλήρωσας· οὕτως παντῇ ἐγένου ζηλωτὴς πράξεων τῶν ἀγαθῶν· [para]οὕτως ἐστεφανώθης καὶ τῇ κλήσει καὶ τῇ πράξει, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 18.80 Ὕψωσε σὲ ὁ Χριστὸς καὶ θεὸς δοξάσας σὲ ἐν τῇ δόξῃ αὐτοῦ καὶ ἔδειξέ σοι ὃ ὑπάρχει αὐτὸς καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον· σὺ οὖν ὡς ὢν θεόπτης ὑπὲρ ἁμαρτανόντων τὴν συγχώρησιν αἴτησαι· [para]ὑπὲρ ⟦τῶν⟧ τοιούτων γὰρ ἔθος ἔχεις πρεσβεύειν· τὴν ἄφεσιν ἡμῖν, ἄνεσιν τῶν πταισμάτων, [para]τοῖς τιμῶσι τὴν πάντιμον μνήμην σου· τῷ δὲ προσψαύσαντί σοι διὰ τῶν ἤδη λεχθέντων πρὸς σὲ [para]γενοῦ τεῖχος καὶ μέγας πρὸς τὸν κύριον προστάτης, στεφανῖτα, |:τῶν μαρτύρων ὁ πρώταθλος.:|

book 1.81 ⟦Μεγαλομάρτυς περίφημε, τυραννοκτόνε ἀήττητε, [para]φοβερὲ ὁπλῖτα τοῦ Χριστοῦ, ἀντόπλισαι τοὺς καθ’ ἡμῶν κινουμένους, [para]ἀγώνισαι, κτῆσαι καὶ νῦν ὡς ἀνδρεῖος |:τῆς νίκης τὸν στέφανον.:|⟧

book 1.81 Τὸν περιβόητον μάρτυρα καὶ περίφημον τοῦ κυρίου θεράποντα, τὸν εἰς πρεσβείαν μὲν ἕτοιμον καὶ εἰς προστασίαν περὶ πάντα θερμότατον ἀνυμνῆσαι βουλόμενος, θεωρῶν τὰ προλάμποντα τῶν ἀρετῶν αὐτοῦ χαλινοῦμαι, ⟦καὶ⟧ βεβίασμαι· [para]ὁρῶ γὰρ πλῆθος κατορθωμάτων καὶ πέλαγος θαυμάτων καὶ τῶν ἀνδραγαθημάτων τὰ μεγέθη, καὶ δονοῦμαι ἀνδρείας τὰς νίκας, ἀριστείας ἀγώνων, ἃ οὔτε ἱκανῶ εἰπεῖν, [para]πόσοις περιέστεψεν στεφάνοις τὸν αὐτοῦ Χριστὸς |:ὁπλίτην καὶ μάρτυρα.:|

book 2.81 Ὁ λειμὼν ὁ τοῦ μάρτυρος οὗτος πέφυκεν ὡς δρυμός τις κατάδασος, τῇ συνδενδρίᾳ σκεπόμενος τῶν ἀνθῶν πνεόντων εὔρωστα καὶ καλλίπνοα καὶ ῥωννύων τοὺς ἅπαντας· ἐν ᾧ ⟦ὁ⟧ τάλας ἐγὼ εἰσελθών τι ἐκλέξασθαι ἀμαυροῦμαι τί δρέψασθαι· [para]ἀμηχανῶν δὲ ἕστηκα μέσον καὶ βλέπων ἐκθαμβοῦμαι καὶ τῇ ὄψει οὐ κορέννυμαι πρὸς τὴν τῆς θέας πολυκοσμίαν· ἔνθεν καρποὶ θεώδεις, καὶ ἔνθεν οἱ πόνοι οἱ τοῦ ἁγίου θάλλουσιν· [para]πάντοθεν τὰ αὐτοῦ αὐτὸν τὸν ἔνδοξον στέφουσιν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 3.81 Ὑπελθὼν τὰ παράδοξα καὶ τὰ μέγιστα ἀφορῶν εἰς τὸν μάρτυρα ἐκ τῶν πολλῶν ἑνὸς ἄρξομαι [para]μάλιστα γινώσκων τοῦ ἁγίου τὸ σύντομον πρὶν αἰτῆσαι δωρούμενον· καὶ τὸ πέρας τοῦ βίου αὐτοῦ διηγήσομαι, ὅπερ πέρας οὐκ ἔσχηκεν· [para]ἀεὶ γὰρ ζῶν δὲ καὶ μετ’ ἀγγέλων συνόμιλος ὑπάρχων τὰ αὐτῷ ἐνειθισμένα πράττει σῴζων καὶ οἰκτείρων· τοῦτον τι τοῦ βίου, οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨χὶ⟩ τιμή, οὐ ζώνη, οὐ πλοῦτος τις παρέπεμψε· [para]Χριστῷ γὰρ ἐσφράγιστο καὶ ἔχει ποθῶν αὐτὸν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 4.81 Τούτου ἰσχύς, δόξα, ὕπαρξις καὶ ἀξίωμα ὁ Χριστὸς ἦν καὶ στήριγμα· αὐτὸν ψυχῇ τε καὶ σώματι [para]ἦν ἠμφιεσμένος ἀντὶ ὅπλων καὶ θώρακος ἔσωθέν τε καὶ ἔξωθεν· τόξον, ξίφος, φαρέτραν, ῥομφαίαν ὁ εὔσθενος τὸν Χριστὸν περιεζώσατο· [para]αὐτὸν καὶ ὡς περικεφαλαίαν σκεπόμενος ὁ μάρτυς ἐτροποῦτο τοὺς πολέμους τῶν φυλῶν καὶ τῶν δαιμόνων· ἔμπυρον ἔχων ζῆλον ὑπὲρ τῆς ἀληθείας γενναίως ἠγωνίζετο· [para]εἶχεν γὰρ αὐτὸν πιστὸν Χριστὸς ἡ ἀλήθεια |:ὁπλίτην καὶ μάρτυρα.:|

book 5.81 Ἀριθμεῖν οὐ δυνήσομαι τὰ τοῦ μάρτυρος ἃ εἰσὶ τὰ τεράστια· ἕνα δέ, ὃ ἐξετέλεσεν [para]πρὸ τοῦ μαρτυρίου τῆς αὐτοῦ τελειώσεως ἀναγκαῖον διηγήσασθαι· ἔνθεν γὰρ καὶ ἀρχὴν αὐτῷ τὴν τῆς ἀθλήσεως ὁ Χριστὸς ἐδωρήσατο [para]ἐπὶ ἀσπίδα καὶ βασιλίσκον καὶ δράκοντα πατῆσαι· καὶ προοίμιον ἀγώνων ἐβεβαιώθη τῷ ἁγίῳ. ἀλλὰ μηδεὶς ὡς λῆρον τὰ θαύματα δέξῃ· ὑπάρχει γὰρ παράδοξα· [para]ἐντεῦθεν γὰρ δείκνυσιν Χριστὸς αὐτὸν ἔνδοξον |:ὁπλίτην καὶ μάρτυρα.:|

book 6.81 Πλησίον τῆς Εὐχαΐτων γῆς πηγὴ ὕδατος ἦν, ἐν ᾗ ἐνεφώλευσεν ἀπὸ τινὸς διαστήματος [para]δράκων ἰοβόλος, οὐκ ἀνθρώπου ἁπτόμενος, ἀλλὰ κτήνη χειρούμενος· καὶ ὁποῖον δ’ ἂν ἄλογον ἐκ ταύτης ἔπινεν, ἐν τῷ πίνειν ἐπήρχετο [para]καὶ ἐνειλεῖτο ἐν τῇ κοιλίᾳ ὥστε ἐμεῖν τὸ πόμα· ἐνειλίσσων καὶ συσφίγγων ὁ θὴρ ἀνῄρει τοῦτο· καὶ τοῖς παροδίταις καὶ ὁμόροις ἐπῄει ἐπὶ ἱκανοῖς ἔτεσιν, [para]ἕως οὗ ὁ κύριος τὸν αὐτοῦ ἀπέστειλεν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 7.81 Ἐκεῖ τὰ ὕδατα νάματα καὶ στενάγματα καὶ πικρίας ἀνέβρυσαν, πηγὴν τῶν θρήνων καὶ θλίψεων, [para]εἴπερ ἔστι λέγειν ταύτην πλῆξιν καὶ οὐ πηγὴν ἀναιροῦσαν καὶ πλήττουσαν· ἐκ τοῦ κτήνους γὰρ ἕκαστος ἀποστερούμενος τῷ φόρτῳ ἐμαστίζετο [para]καὶ ἐνεκροῦτο ἐπὶ τῇ θέᾳ ἀμηχανῶν τί δρᾶσαι· μάλιστα ὁ ἐπὶ ξένης πάσης ἄμοιρος ἐλπίδος· τάφον δὲ τὸν βίον καὶ θανάτου ταμεῖον ὁρῶν, πῶς οὗτος ζήσεται; [para]ὁ ταῦτα μὴ ἐῶν θεὸς τὸν αὐτοῦ ἀπέστειλεν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 8.81 Ἰδοῦσα ταῦτα τὰ ἄτοπα ἐγγινόμενα τὶς γυνὴ πάνυ ἔνδοξος Εὐσέβεια τῷ ὀνόματι [para]τῆς αὐτῆς πολίχνης ἀληθῶς ὡς Εὐσέβεια ἐγκατέστησε φύλακα πρὸς τὸ ἕκαστον ἄνθρωπον τὸν παροδεύοντα μετὰ κτήνους ἢ ἔφιππον [para]διακωλύειν μὴ προσεγγίσαι πηγῇ τῇ ἰοβόλῳ ἡ ἐπαίνων ἐπαξία δι’ αὐτὸ καὶ μακαρία· ταύτης τὸ θεῖον ἔργον ὁ Χριστὸς θεωρήσας καὶ τὴν καλλίστην πρόθεσιν [para]κατ’ ἐκείνου τοῦ θηρὸς ἀπέστειλεν τὸν ἴδιον |:ὁπλίτην καὶ μάρτυρα.:|

book 9.81 Νεύματι οὖν τῷ τοῦ σῴζοντος ὁδηγούμενος ὁ ἀνδρεῖος Θεόδωρος ἐν τῇ πηγῇ παρεγένετο [para]ἔφιππος ἀστεῖος· ὃν ὁ παῖς ὁ δοθεὶς ἐκεῖ τοῦ φυλάττειν ἰδὼν αὐτὸν προσελθὼν ἐπειρᾶτο κωλύειν, δηλῶν αὐτῷ τὰ τὸν τόπον συνέχοντα· [para]ὁ δὲ γενναῖος προσμειδιάσας ἐντέλλεται σιγῆσαι καὶ φησίν· „Ὄψει τὴν δόξαν τοῦ δυναμοῦντος με κυρίου·“ προσελθὼν οὖν τοῖς ῥείθροις, παρ’ αὐτὰ καὶ ὁ δράκων ἐπέβη, ὁ δὲ ἅγιος [para]προσηύχετο· „Κύριε, ἐν σοί με ἀνάδειξον |:ὁπλίτην καὶ μάρτυρα.“:|

book 10.81 Οὕτως αὐτὸν προσευχόμενον τὴν εὐχὴν αὐτοῦ ὁ θεὸς προσεδέξατο ἰσχὺν αὐτῷ δωρησάμενος· [para]τοῦ γὰρ ὑπομήρου τοῦ ἁγίου τοῖς ὕδασιν ἑστηκότος καὶ πίνοντος ἐνειλήθη ὁ δράκων τῷ ἵππῳ καὶ ἔσφιγγεν ἐπὶ τῷ ἀνελεῖν αὐτόν· [para]ὁ δὲ γενναῖος ἄνωθεν ἄνω τὸ δόρυ ἀνατείνας καὶ τῷ στόματι δυνάμει ἐπιπήξας τοῦ θηρίου τοῦτον οὕτως ἀνεῖλεν τῆς αὐτοῦ μαρτυρίας τὰ πρόθυρα ἐῶν αὐτοῖς [para]τὴν χάριν ἐνέχυρον· εἶχεν γὰρ αὐτὸν Χριστὸς |:ὁπλίτην καὶ μάρτυρα.:|

book 11.81 Ὑψηλῶς ἐκηρύττετο ἐκ τῆς πόλεως Εὐχαΐτων ὁ ἅγιος ἐλευθερίας τυχούσης νῦν· [para]ὗς, ὃς ἐκ δρυμοῦ ἦν, καὶ αὐτὴν ἐλυμαίνετο τοῦ θηρὸς τὸ ἀνήμερον, ὃν ὡς μονιὸν ἄγριον κατανεμόμενος

ὁ πάνθηρ κατανάλωσεν· [para]τοῦτο τὸ θαῦμα πᾶσα εὐφήμει χώρα, πόλις καὶ κώμη, καὶ ὁ παῖς δὲ ἐξαιρέτως ὁ τοῦ δράματος αὐτόπτης ἀνεθεὶς τῆς ἐνέδρας· μέσον γὰρ 〈τοῦ〉 θανάτου καὶ τῆς ζωῆς ἐπύκτευεν· [para]δι' ὧν δὲ λελύτρωται ἀνύμνει τὸν τοῦ θεοῦ |:ὁπλίτην καὶ μάρτυρα.:|

book 12.81 „Ῥαθυμίαν ἀπωσάμενος, κομιζόμενος τὴν χαρὰν σπεῦσον τάχιστα," τῷ δούλῳ ἔφη ὁ ἅγιος [para]τῷ προστεταγμένῳ συμφορᾶς τοὺς ὁδεύοντας ἀπαλλάττειν καὶ θλίψεως, „καὶ ἀνάγγειλον τῇ σῇ κυρίᾳ ἃ λέγω σοι· ἐπειδὴ ⟦τῇ⟧ γνώμῃ ἔδειξας [para]τοὺς χρηστοὺς τρόπους σου φανεροῦσα, οὓς ἔδειξας δι' ἔργων, δέον σὲ ὡς ὑπὲρ τούτων μισθοὺς πορίσασθαι ἀξίους· πρόκειταί μοι ἀθλῆσαι· ἔνθα δε τελειοῦμαι, τὸ ἐμὸν σῶμα ὤνησαι· [para]ἀρκετόν σοι ἀντὶ μισθοῦ· λήψει γάρ με τὸν τοῦ Χριστοῦ |:ὁπλίτην καὶ μάρτυρα.":|

book 13.81 Ὢ σοφῆς διαθέσεως, ὢ ἀγάπησις, ὢ μισθὸς ἀναφαίρετος, ὢ προστασία, ὢ πρόνοια, [para]ὢ αὐτοδωρήτου παροχῆς, ὢ χαρίσματος, ὢ μεγάλης αἰνέσεως, ὃν ὁ παῖς ὥσπερ χάρτην καὶ τίμια γράμματα τῇ χειρὶ τῇ τοῦ μάρτυρος [para]ἐντεταγμένα ἀποκομίζει τὴν θείαν διαθήκην σφραγισμένην ταῖς εὐνοίαις ὑπογραφῶν τῶν διὰ ταύτης πρώην διασωθέντων· ἥντινα δεξαμένη ἡ ἀληθῶς Εὐσέβεια [para]ἐφ' οἷς κατηξίωται ἐδόξαζεν τὸν τοῦ Χριστοῦ |:ὁπλίτην καὶ μάρτυρα.:|

book 14.81 Μάθωμεν καὶ τὴν ἐμφάνειαν καὶ τὴν δύναμιν τῆς οὐσίας τοῦ μάρτυρος πῶς ἀνεγράφη, καὶ ἴδωμεν, ποταπή, καὶ ποῖος τρόπος καὶ τίνες πέλουσιν οἱ αὐτὴν ἀναγράψαντες· τῶν εἰδώλων ἐπέκειτο ὁ βδελυρὸς καιρὸς καὶ ἡ πικρὰ ἐπικράτησις, [para]καὶ ἡ τῆς πλάνης πολυθεΐα πανταχοῦ ἐκλονεῖτο βασιλεύοντος Μαξίμου καὶ Μαξιμίνου τῶν ἐχθίστων, οἷσπερ συμμαχήσας τὶς ὄνομα Βρίγγας, ὁ τῶν κακῶν πραιπόσιτος· [para]τούτων ἐν τοῖς χρόνοις ἦν, ὃν εἶχεν Χριστὸς στερρὸν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 15.81 Ἄγει τοῦτον τὸν φιλόθεον ὁ πραιπόσιτος τότε ἔπι τοῦ βήματος καὶ ὡς χρυσίον τὸ δόκιμον [para]καθαπὲρ ἀκόνῃ παρηκόνει τοῖς ῥήμασιν ὁ δεινὸς ὡς συντρίμμασιν λέγων· „Λάβε, Θεόδωρε, τὴν πανοπλίαν σου πεισθεὶς τῇ συμβουλίᾳ μου· [para]πρόσελθε πᾶσιν τοῖς εὐμενέσιν θεοῖς ἡμῶν καὶ θῦσον, ἵνα τῆς αὐτῶν προνοίας τύχῃς καὶ ⟦τῆσ⟧ τῶν αὐτοκρατόρων· ὑπείκων γὰρ τούτοις πλείονος τεύξει δόξης· εἰ δὲ ὀφθῇς ἐνάντιος, [para]οὐκ ἔστι σοι λοιπὸν ζωή· οὐδείς, ὃν φάσκεις ἔχειν σὲ |:ὁπλίτην καὶ μάρτυρα.":|

book 16.81 Νυχθεὶς τοῖς λόγοις ὡς βέλεσιν διεγείρεται θείῳ ζήλῳ ὁ ἅγιος καὶ τρέχει ἐπὶ τὸ τέμενος [para]πάσης ἀπωλείας, τὸν ναὸν τῶν θεῶν αὐτῶν, καὶ τὴν Ἄρτεμιν ἔπρησεν τούς τε ἄλλους βωμοὺς τῶν εἰδώλων κατέστρεψεν καὶ ὡς κόνιν ἐποίησεν [para]λέγων· „Πατήρ, υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον κελεύει ὑμᾶς ἐξαφανισθῆναι καὶ ἐν γεέννης ἀπαχθῆναι." ἤκουσαν οἱ τοῦ σκότους υἱοὶ τὰ πραχθέντα καὶ λόγοις καὶ 〈ταῖσ〉 μάστιξι [para]κατάξαντες κατέξεον τὸν μέγαν τοῦ θεοῦ ἡμῶν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 17.81 Ὅτε αἰκίαις ⟦ταῖσ⟧ πικραῖς αὐτὸν ἐσκολόπισαν, ἐν φρουρᾷ ἐναπέθεντο καὶ ἐν τῷ ξύλῳ ⟦κατ⟧ ἠσφάλισαν [para]τὸν ἐπὶ τὰ ὕψη τοῖς πτεροῖς τῆς πίστεως πρὸς θεὸν ἀνιπτάμενον, καὶ βραχύ τι προσφέρεσθαι ἄρτου καὶ ὕδατος τῷ δικαίῳ προστάττουσιν [para]τοῦ διαβόλου οἱ ὑπηρέται, τῷ τὴν θεογνωσίαν τοῦ Χριστοῦ βρῶσιν καὶ πόσιν καὶ ἰσχὺν ἔχοντι καὶ ἐλπίδα· ᾧτινι καὶ ἐφάνη μεθ' ἁγίων ἀγγέλων ὁ θεὸς σὰρξ γενόμενος [para]βοῶν αὐτῷ· „Θάρσησον, σὲ γὰρ γνήσιον κέκτημαι |:ὁπλίτην καὶ μάρτυρα.":|

book 18.81 Ὕμνοι ἐκεῖ ἀναπέμποντο τῷ οἰκτίρμονι ἐκτενεῖς ἐκ τοῦ μάρτυρος τῷ τοῖς πιστοῖς ἐμφανίζοντι [para]καὶ ἰσχὺν διδοῦντι· καὶ ἦν τὸ δεσμωτήριον ὡς πρὶν τὴν Βαβυλώνιον θεωρεῖν ἐκκλησίαν 〈τοῖσ〉 νέοις τὴν κάμινον, ἣν ἐδόκουν τάφον ἔσεσθαι· [para]ὁ τοῖς παισὶν γὰρ ἐκεῖ συμψάλλων, αὐτὸς τῷ ἀθλοφόρῳ συνῆν καὶ δεσμὰ τὰ τούτου διέρρηξεν ὡς ἐκεῖ ⟦τὴν⟧ φλόγα·

ὅθεν ὡς ἐπ’ ἐκείνων ὁ Ναβουχοδονόσωρ, τῇ φυλακῇ ὁ τύραννος [para]ἐπέστη καὶ ἰδὼν φρικτὰ ἐξέστη τὸν ⟦τοῦ⟧ Χριστοῦ ὁρῶν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 19.81 Ὁρῶν σφραγῖδας, ἃς ἔθετο, σώας, τὴν δὲ πρὶν ζοφερὰν εἱρκτὴν φώσφορον καὶ τὸν τῶν ὕμνων ἀκούων ἦχον [para]ὁ υἱὸς τοῦ σκότους ὄχλου ἐπιβουλήν τινα ὑπενόει ἔνδον ἔσεσθαι καὶ ξιφήρης ἐπέστη σὺν πλήθει ὁ ἄνομος· δι’ ὀπῆς παρακύψας δὲ [para]ὁρᾷ τὸν μάρτυρα ⟦καὶ⟧ μόνον ὄντα· καὶ τῇ μανίᾳ ζέσας ἄγει ἐν τῷ κριτηρίῳ καὶ ὠμῶς μετὰ σιδήρων πλευράς 〈τε〉 καὶ σπλάγχνα τοῦ σεμνοῦ καταξέει, ἕως καὶ τὰ ὀστᾶ αὐτοῦ [para]καὶ πάντα τὰ ἐντὸς λικνῶν κατέξαινεν τὸν τοῦ Χριστοῦ |:ὁπλίτην καὶ μάρτυρα.:|

book 20.81 Ψάλλων καὶ χαίρων ὑπέφερεν ὁ πολύαθλος πάντα τὰ στρεβλωτήρια κραυγάζων τοῖς βασανίζουσιν· [para]„Πάντα τὰ ἐκτός μου καὶ τὰ ἔνδον μὴ φείσασθε, ἀλλὰ ἁρμολογήσατε καὶ μηδὲν τὸν τοῦ βίου ἰχῶρα ἐάσητε τοῖς ἐμοῖς εἶναι μέλεσιν· [para]ἀλλὰ γυμνὸς πάντων τῶν τοῦ βίου καθαρὸς ὢν παράστω τῷ κυρίῳ τῶν αἰώνων, κτίστῃ πλάστῃ τε ἀνθρώπων.“ ταῦτα οἱ δορυφόροι καὶ οἱ κακοὶ ἐργάται ἀκηκοότες ἅπαντα [para]μειζόνως κατεπρίοντο ὀλέσαι τὸν τοῦ Χριστοῦ |:ὁπλίτην καὶ μάρτυρα.:|

book 21.81 Αἰκισμοὺς πλείστους προσάξαντες, ἐκκακήσαντες τέλος πάντων πυρὶ αὐτὸν κατακαυθῆναι προσέταξαν [para]οἱ τοῦ διαβόλου ὑπηρέται τὸν ἅγιον· καὶ δὴ ὕλην ἐσώρευον τὴν ἐκτρέφουσαν φλόγα καὶ 〈πᾶν〉 ἐπιτήδειον καὶ τὸ πῦρ περιέστησαν· [para]καὶ ἦν ἐκεῖ βλέπειν ὥσπερ στάχυν τὸν μάρτυρα ἑδραῖον ταῖς πληγαῖς γεωργηθέντα καὶ ἐν ταῖς στρέβλαις ἡλωθέντα, τῇ φρουρᾷ ἀλεσθέντα 〈έντα〉 τῇ ζέσει ὥσπερ ἄλευρον, [para]ἵν’ ἄρτος προσαχθῇ θεῷ τῷ τοῦτον μέγαν ἔχοντι |:ὁπλίτην καὶ μάρτυρα.:|

book 22.81 Λαβόντες τοῦτον οἱ ἄνομοι ὡς εἰς κλίβανον ὑπὲρ φοῦρνον ἐξάπτοντα ἐν τῷ πυρὶ αὐτὸν ἔρριψαν· [para]ὡς ἀναφορά δε ἀνηνέχθη ὁ ἅγιος δοὺς τὸ πνεῦμα τῷ κτίσαντι καὶ εἰς τὴν τῶν ἀγγέλων παρετέθη τράπεζαν ⟦ταῖσ⟧ εὐφημίαις στεφόμενος· [para]πρᾶξις οὖν γίνεται ἐπὶ πάντων ἡ τῶν ὑπομνημάτων ἔχουσα τοῦ βασιλέως Χριστοῦ τοὺς θείους χαρακτῆρας· ταύτην λαβὼν ὁ μάρτυς κάτα τὰς ὑποσχέσεις τῇ Εὐσεβείᾳ δίδωσιν [para]τὰ δίκαια κομίσασθαι τοῦ μεγάλου θεοῦ ἡμῶν |:ὁπλίτου καὶ μάρτυρος.:|

book 23.81 Μαθοῦσα πᾶσαν τὴν δύναμιν τὴν τῆς πράξεως ἡ καλλίστη Εὐσέβεια ἀφόβως ἐπιλαμβάνεται [para]ταύτης τῶν δικαίων καὶ ταχέως πορεύεται οὗ ὁ μάρτυς ἀθλήσας ἦν, καὶ τὸ σῶμα ἐκεῖθεν λαβοῦσα ἐκόμισεν ἐν τιμῇ καὶ ἀπέθετο [para]ἐν εὐπρεπῆ τόπῳ τῷ ἰδίῳ καθὼς αὐτῇ ἐρρήθη· ἀνεγείρασα δὲ οἶκον σπουδῇ καὶ πόθῳ τοῦ ἁγίου τὸν κατ’ αὐτὸν τόπον ἐπισκόπῳ σημαίνει ἐγκαινισμὸν ποιήσασθαι [para]πρὸς τὸ ἀναφέρεσθαι τὸν μέγαν τοῦ θεοῦ ἡμῶν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 24.81 Οὐκ ἦν οὖν αὐτοῖς εὐδήλωτος, ἀλλὰ ἄδηλος καὶ εἰς ὅρασιν ἄπορος ἡ τοῦ ἁγίου ὁμοίωσις· [para]καὶ ὡς θαλαττίοις τὶς δονούμενος κύμασιν ἐκλονοῦντο τοῖς σκέμμασιν· ὁ σπουδαῖος δὲ τούτους γαλήνης ὡς ἔμπλεως τούτους τάχος κατεύνασεν· [para]εὐχαῖς νηστείαις γὰρ τῷ προέδρῳ σχολάζοντι ἐπέστη ἐν ὀνείροις καὶ ἐδείκνυ ἑαυτὸν 〈ὄντωσ〉 ὡς ἔφυ· ἀναστὰς δὲ τοῦ ὕπνου προσκαλεῖται γραφέα ἐπὶ τὸ ἀναγράψασθαι [para]ὃν καθεύδων ἑώρακεν, τὸν τοῦ κυρίου ἔνδοξον |:ὁπλίτην καὶ μάρτυρα.:|

book 25.81 Σχολὴ οὐκ ἦν ἀκριβὴς ἐκεῖ ἀναλέξασθαι καὶ ἐγεῖραι ὁμοίωσιν· τὰ χρώματά ἠσαν ἄπρακτα· [para]τέχνης γὰρ νοσούσης ὁ δοκῶν εἶναι ἔμπειρος ἄπειρος καὶ νεκρός ἐστιν· ὡς ἐκείνου τῇ ῥαθυμία ἐγκείμενον ὅμοιον τὸν γραφέα καὶ ἔπαινον [para]καὶ ἐκ τῆς νόσου ἀπαλλαγῆναι τῷ μάρτυρι βοῶντα αὐτομάτως ἐπὶ τοῦτον πρὸς τὸ γραφῆναι ἐλθόντα· γίνεται ἐπιστήμων, ἀξιοῦται μεγίστην διδασκαλίαν δέξασθαι, [para]τὸ γράψαι τὸν πολύαθλον Χριστοῦ τοῦ θεοῦ ἡμῶν |:ὁπλίτην καὶ μάρτυρα.:|

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 26.81 Ὅτε ὅλον ἀνελέξατο τὸν σεβάσμιον, τῶν καλῶν τὴν ἐπίκτησιν, τῶν ἀγαθῶν τὴν ἀνάκτησιν, [para]τὸν τῆς σωτηρίας τίτλον ὁ συγγραψάμενος ὡς λαυρᾶτον προσήγαγεν τῷ τοὺς οἴακας τῆς ἐκκλησίας εὐθύνοντι· ὃς ἰδὼν ⟦τὸ⟧ μέγα θέαμα [para]ἐξέστη ἐπὶ τῷ παραδόξῳ, ἀκούσας καὶ τὸν τρόπον τοῦ τοιούτου μυστηρίου καὶ τοῦ θαύματος τοῦ θείου, τῷ τοιαῦτα ποιοῦντι βασιλεῖ τῶν αἰώνων τὴν δόξαν ἀνεκήρυττε, [para]δι᾽ ἣν κατηξίωτο ἰδεῖν τὸν τοῦ Χριστοῦ στερρὸν |:ὁπλίτην καὶ μάρτυρα.:|

book 27.81 Ὕμνων πολλὴ εὐωχία ἦν καὶ δεήσεων τὰ ἐκεῖ περιέχουσα λαῶν ἀπείρων τὰ πέρατα· [para]πάντων συνδραμόντων τὸν ναὸν ἐνεκαίνισαν τῷ λειψάνῳ τοῦ μάρτυρος· ὀφειλέται γὰρ πάντες αὐτοῦ καὶ ἐτύγχανον, οὓς αὐτὸς εὐεργέτησεν [para]θηρὸς τοιούτου ἐλευθερώσας· καὶ ἔλεγον τοιαῦτα· „Ὃς πρὸ τοῦ αὐτὸν ἀθλῆσαι καὶ ἀποικῆσαι ⟦ἐκ⟧ τῶν ἐντεῦθεν τηλικαῦτα παρέσχεν, τί μετὰ τὸ ἀθλῆσαι καὶ ἡμῶν εἶναι σύνοικον [para]ὁποῖα δωρήσηται, ὃν ἔχει Χριστὸς στερρὸν |:ὁπλίτην καὶ μάρτυρα;“:|

book 28.81 Ταῦτα τοῦ μάρτυρος ἔπαθλα, ταῦτα στέφανοι, ταῦτα αἴνων μνημόσυνα, ταῦτα ἀείμνηστα πράγματα, [para]ταῦτα πάντα ἔπη, ταῦτα δόξα καὶ ἔπαινοι, ταῦτα κλέος πολύτιμον· τούτῳ πάντες οἱ ἄνθρωποι πολλὰ ὀφείλομεν· πρὸς γὰρ ἕκαστον ἥπλωται· [para]οὐ μόνον γὰρ ἐν τῇ Εὐχαΐτων πολίχνῃ διατρίβει, ἀλλὰ καὶ ὡς ἐπὶ πλεῖστον ἐν ⟦τῇ⟧ πανευδαίμονι διάγει ἐπαγρύπνως φυλάττων ταύτην καὶ τοὺς ἐν ταύτῃ καὶ τῶν κινδύνων ῥύεται· [para]καὶ γὰρ εἰς αὐτὴν αὐτὸν κατέστησεν ὁ κύριος |:ὁπλίτην καὶ μάρτυρα.:|

book 29.81 Οἱ ἐν πτωχείᾳ δακνόμενοι σὲ γινώσκουσιν εὐεργέτην ὧν χρήζουσιν καὶ σκέπην οἱ γυμνητεύοντες, [para]ἔμποροι πορείαν, ὁδηγὸν οἱ πλανώμενοι, συνοδίτην ⟦οἱ⟧ ὁδεύοντες, κυβερνήτην οἱ πλέοντες, παιδείαν ἀπαίδευτοι, μεθοδῖται διδάσκαλον· [para]οἱ γεωργοὶ πρὸς τὴν ἐργασίαν ἰσχύος ἐπιδότην, οἱ ἐν γήρει βακτηρίαν, ὀρφανοί, χῆραι ⟦κριτὴν⟧ πατέρα, οἱ νοσοῦντες ὑγείαν, ὅπλα οἱ πολεμοῦντες ὑπὲρ τῶν τοῦ Χριστοῦ λαῶν, [para]οἱ δὲ πιστοὶ βασιλεῖς καὶ φύλακα καὶ μέγιστον [para]|:ὁπλίτην καὶ μάρτυρα.:|

book 30.81 Σὲ τὸ ὑμνεῖν γλῶσσαν ἅπασαν καὶ διάνοιαν ὑπερβαίνει, πανεύφημε, θεοῦ τὸ δῶρον Θεόδωρε· [para]ὄντως γὰρ ὡς ὄντως πρὸς τὴν φύσιν τὰ πράγματα ὁ Χριστὸς συνηρμόσατο· ὡς οὖν ἔμφυτον ἔχων τὸ τῆς ἀγαθότητος καὶ ὡς δῶρον δοθεὶς ἡμῖν [para]γενοῦ τῇ ποίμνῃ τῇ σὲ ὑμνούσῃ βοήθεια καὶ σκέπη καὶ τῇ πόλει ταύτῃ τεῖχος σῇ τηρῶν αὐτὴν προνοίᾳ· ἔστω δ᾽ αὕτη βραχίων κάτα τῶν πολεμίων, ἀήττητε, πρεσβείαις σου· [para]εἰς σὲ ἐγκαυχᾶται γὰρ καὶ σὲ τὸν τοῦ Χριστοῦ καλεῖ |:ὁπλίτην καὶ μάρτυρα.:|

book 1.82 Πίστιν Χριστοῦ ὡσεὶ θώρακα [para]ἔνδον λαβὼν ἐν τῇ καρδίᾳ σου [para]τὰς ἐναντίας δυνάμεις κατεπάτησας, πολύαθλε, [para]καὶ στέφει οὐρανίῳ ἐστέφθης, Θεόδωρε, |:ὡς ἀήττητος.:|

book 1.82 ⟦Ὡς δωρεῶν ἐπώνυμος καὶ προστατεύειν ἕτοιμος [para]τῶν σῶν θαυμάτων, περίφημε ἅγιε, τὰς δωρεὰς κατάπεμψον, [para]τὰς ψυχικὰς ἡμῶν νόσους καὶ τῶν σωμάτων τὰ πάθη [para]ἰασάμενος τῇ χειρουργίᾳ σου· σὺ γὰρ ὑπάρχεις τοῦ κόσμου ἀντίληψις |: 〈–〉 .:|⟧

book 1.82 Ὁ ἐν θρόνῳ φωτὸς ἐποχούμενος, εὐχαρίστως ἐν πίστει ὑμνοῦμεν σε, ὅτι δώρημα θεῖον δεδώρησαι, τὸν γενναῖον τοῖς ἄθλοις Θεόδωρον, τὸν ἐν τῷ βίῳ τρισμακάριστον ὡς ὑπέρμαχον ὄντα τῆς ἀληθείας, εὐσεβεῖ λογισμῷ κεκτημένον Χριστὸν κραταιὸν νικητὴν κατὰ τοῦ δολεροῦ |:ὡς ἀήττητον.:|

book 2.82 Ὑπομείνας χειμῶνας ὁ ὅσιος ἐν τοῖς χρόνοις τῆς πλάνης, ὡς γέγραπται, Μαξιμίνου λοιμοῦ βασιλεύοντος πᾶσα κτίσις εἰδώλοις ἐτέρπετο· διὸ κρατεῖται ὁ πανόλβιος ἀπειθῶν τοῖς προστάγμασι τοῦ τυράννου, προσκυνῶν δὲ πιστῶς τῷ ἀχράντῳ θεῷ καὶ σπουδάζων παθεῖν αἰκισμοὺς χαλεποὺς |:ὡς ἀήττητος.:|

book 3.82

Μόνον οὖν τῷ ἀνόμῳ ὁ ἔννομος εἰσαχθεὶς τὰς βασάνους οὐκ ἔπτηξεν· ἀλλ’ οὐδὲ ὁ σεμνὸς παραινούμενος οὐκ ἐκάμφθη ποθῆσαι τὰ πρόσκαιρα· διὸ καὶ ὕβρεις ἀπεφθέγξατο παρεστὼς ἐν τῷ βήματι τοῦ τυράννου, ἐνισχύων τοὺς συγκρατηθέντας αὐτῷ καὶ βοῶν μετ’ αὐτῶν ἐκτενῶς τῷ Χριστῷ |:ὡς ἀήττητος.:|

book 4.82 Νικηθεὶς ὁ ἐτάζων προσέταξε διωρίαν δοθῆναι τῷ μάρτυρι· ἀπατῆσαι ζητῶν δὲ τὸν δίκαιον ἐπορεύθη τοῦ θῦσαι τοῖς δαίμοσιν· αὐτὸς δὲ τάχος ἐνεπύρισε τὸν ναὸν τῆς Ἀρτέμιδος αἰφνιδίως καθελὼν τὰ σεβάσματα τῶν ἀσεβῶν, κραταιούμενος πνεύματι ὁ ἀθλητὴς |:ὡς ἀήττητος.:|

book 5.82 Οὐκ ἐκρύβη τῷ Βρίγγᾳ τὸ δρώμενον, καὶ θυμῷ ὑπερζέσας ἐκέλευσε δεσμευθέντα τὸν ἅγιον ἄγεσθαι ἐκπληττόμενος ἐν τῇ θεᾷ αὐτων, τὸ πῶς πυρίκαυστος ἐγένετο καὶ οὐκ ἔδειξε δύναμιν ἐνεργείας, ἀλλ’ ἐφλέχθη πυρὶ ὡσεὶ χόρτος ξηρός, καταργήσας αὐτὴν ὁ ποθήσας Χριστὸν |:ὡς ἀήττητος.:|

book 6.82 Σύννους ἦν ῥαθυμῶν ὁ παράνομος καὶ ἐτρύχετο ἐπὶ τῷ δράματι ὅτι πῶς ἡ θεὰ συναπώλετο τοῖς ἀψύχοις εἰδώλοις αἰφνίδιον· σαφῶς οὖν ἤχθη ὁ θεόπνευστος ῥωμαλέος ὑπάρχων τῇ διανοίᾳ· ὃν ἰδὼν ὁ ἐχθρὸς ἐταράχθη πικρῶς ἐννοῶν ὅτι πέποιθεν ἔπι θεὸν |:ὁ ἀήττητος.:|

book 7.82 „Ῥώννυσαι ἐνισχύσας, Θεόδωρε, ἐμπυρίσας ναὸν ἱερόν ἡμων; οὐκ ᾐδέσθης διὰ τῶν παλάμων σου πυριφλέκτους ποιῶν τοὺς θεούς ἡμων; οὐκ ᾐκηδίασας τῷ πνεύματι, ἀλλ’ ἐνέμεινε δύναμις τῇ ἰσχύι σου; τὴν μεγάλην συντρίψας θεάν ἡμων, πῶς δὲ ἔμεινε σώα ἡ σάρξ σου ἐν σοὶ |:ὡς ἀήττητος;“:|

book 8.82 Ὡς οὖν ἤκουσεν, ἔφη ὁ πάνσοφος· „Τὴν θεὰν μὲν ἐγὼ κατηνάλωσα· εἷς γὰρ ἔστι θεὸς ὁ ἀόρατος ἐν ὑψίστοις ἐν δόξῃ ὑμνούμενος· αὐτὸς ἐστὶν ὁ κτίσας ἅπαντα οὐρανόν τε καὶ γῆν καὶ πᾶσαν τὴν κτίσιν, ὃν ποθῶν ψυχικῶς προσκυνῶ ἐκτενῶς· δι’ αὐτὸν οὖν καὶ σπεύδω παθεῖν αἰκισμοὺς |:ὡς ἀήττητος.“:|

book 9.82 Μετ’ ὀργῆς κινηθεὶς ἐταράττετο ἀνενδότως μαστίζων τὸν μάρτυρα, ἐν φρουρᾷ δὲ ἐκπέμψας ἐκέλευσεν ἐν τῷ ξύλῳ τηρεῖσθαι τὸν δόκιμον· αὐτῷ δὲ στέμμα εὐτρεπίζετο ὑπὸ θείων ἀγγέλων καθηρμοσμένον ἐναγώνιον ἆθλον τελοῦντος αὐτοῦ· οὐδαμῶς γὰρ ἐνάρκησε τοὺς αἰκισμοὺς |:ὡς ἀήττητος.:|

book 10.82 Αὐλιζόμενος ὡς εἰς παράδεισον οὐκ ἐτράπη ἐν σκότει καθήμενος, ἀλλ’ ἐντεύξεις τῷ πλάστῃ ἀνέπεμπεν ἱκετεύων πεμφθῆναι τὴν λύτρωσιν· διὸ καὶ ἔφθασεν ὁ κύριος μετὰ πλήθους ἀγγέλων ἀναριθμήτων ἐξαστράπτων φωτὶ καὶ βοῶν πρὸς αὐτόν· „Ἐγὼ εἴμι σὺν σοί· μὴ φοβοῦ, ἀθλητά, |:ὡς ἀήττητος.“:|

book 11.82 Νέμων εὐχαριστίαν ἠγάλλετο θεωρῶν ἐν σαρκὶ τὸν ἀόρατον, ὃν ποτὲ Δανιὴλ ἐθεάσατο ἐν νεφέλαις ἐν δόξῃ ἐρχόμενον, καὶ Ἠσαΐας ἐποχούμενον ἐπὶ θρόνου φρικτοῦ τῶν ἑξαπτερύγων, καὶ Μωσῆς ὡς ἀπαύγασμα εἶδε θεοῦ, Ζαχαρίας βοῶν ὅτι ἥξει Χριστὸς |:ὡς ἀήττητος.:|

book 12.82 Ὅτε οὖν οἱ ἀσώματοι ὕμνησαν, διυπνίσθησαν ἄφνω οἱ φύλακες καὶ τῇ θύρᾳ ἐγγίσαντες εἴδοσαν τὴν σφραγῖδα καθὼς ἠσφαλίσαντο· διὸ ἰχνεύσαντες ἐπέγνωσαν τὴν φρικώδη θέαν σὺν τῷ ὁσίῳ τῇ θυρίδι προκύψαντες τῆς φυλακῆς, καὶ ἐγνώρισαν τῷ δικαστῇ τὸ φρικτόν, |:ὡς ἀήττητος.:|

book 13.82 Ὑπαφθεὶς ὁ δικάζων οἷς ἤκουσεν ὡπλισμένον στρατὸν περιέστησεν ἐννοῶν ὅτι δῆμος ἀπάνθρωπος διεσπάραξε τὸ δεσμωτήριον· ἐλθὼν οὖν εὗρεν ὡς ἠσφάλισε καὶ ἀνοίξας οὐχ εὗρεν οὓς ὑπενόει, εἰ μὴ μόνον τὸν μάρτυρα ἐν τοῖς δεσμοῖς κραταιῶς ὑποφέροντα πᾶσαν πληγὴν |:ὡς ἀήττητον.:|

book 14.82 Ἔφη τότε ἐκ θάμβους θυμούμενος τῷ δικαίῳ ὁ παμμιαρώτατος· „Ἐν λιμῷ ἰσχυρῷ τιμωρήσω σε, ὅτι καὶ τοὺς θεοὺς κατεφρονήσας, Χριστῷ δὲ μόνῳ εὐηρέστησας· ἀλλὰ ταύτης ἀπόφυγε τῆς

ἀνοίας πρὶν ἢ γνῶναι σε πεῖραν πολλῶν αἰκισμῶν, ὅπως τοῖς βασιλεῦσι δειχθῇς ποθητὸς |:ὡς ἀήττητος.“:|

book 15.82 Ἱλαρῶς ἀπεκρίθη ὁ ἅγιος· „Ἡ τιμή σου σοὶ ἔστω, παράνομε, τὸν γὰρ βίον σκιὰν ἡγησάμενος τῶν βασάνων οὐ τρέμω τὴν κόλασιν· θαρρῶν δὲ πλεῖον ἀγωνίζομαι ὑπομεῖναι καὶ πλήθη πολλῶν βασάνων ἀπαρνούμενος τοὺς ψευδωνύμους θεούς, ὅπως μείνω ἀσάλευτος δοῦλος θεοῦ |:ὡς ἀήττητος.“:|

book 16.82 Στρατιώτας κελεύει ὁ τύραννος ξέειν ἐναποτόμως τὸν μάρτυρα· τῶν πλευρῶν ἑαυτοῦ καὶ τῶν ἔμπροσθεν γυμνουμένων προθύμως ὑπέφερεν, ὑπὸ σιδήρων ἀναιρούμενος, τῶν δημίων ἀπαύστως καταξεόντων, ἐκαρτέρει τὴν κόλασιν τῶν αἰκισμῶν ἐκνικήσας τὴν δύναμιν τοῦ δολεροῦ |:ὡς ἀήττητος.:|

book 17.82 Τοῦ γενναίου τὰς μάστιγας φέροντος ὁ ἐχθρὸς καθορῶν κατεπλήττετο καί, φησί, πρὸς αὐτὸν γαληνότερον διελέχθη σκελίσαι βουλόμενος· ἀλλ’ οὐ τοῖς λόγοις ἐναρκίασεν ὁ τὸ πρὶν ὑπομένων τὴν εἰρωνείαν, οὐ τῷ πλήθει καμπτόμενος τῶν αἰκισμῶν, ἀλλ’ ἐνέμενεν ἄρρηκτος ὡς ἀθλητὴς |:καὶ ἀήττητος.:|

book 18.82 Ὁ κριτὴς βαρυτέρας ὑπέδειξε τὰς βασάνους καὶ πλείστας τῷ μάρτυρι· τοῦ λαοῦ πρὸς αὐτὸν ἀτενίζοντος ἀποτόμως βοᾷ τὴν ἀπόφασιν πυρὶ καυθῆναι τὸν πανόλβιον· ὅθεν πάντες δακρύων ἀποπληροῦνται σὺν τοῖς φίλοις αὐτοῦ θρηνῳδοῦντες πικρῶς, ὁ Κλεόνικος σὺν τῷ Εὐτρόπῳ, φησίν, |:ὡς ἀήττητος.:|

book 19.82 Νῦν οὖν ἐν τῇ καρδίᾳ εὐχόμενος ἐδυσώπει τὸν πλάστην ὁ πάνσοφος ταχινὴν καταπέμψαι τὴν λύτρωσιν ὡς παισὶ τοῖς τρισὶν εἰς τὴν κάμινον ὁ τῶν ἀγγέλων ἀρχιστράτηγος ἐν καμίνῳ πυρὸς ἐν Βαβυλῶνι· παραινῶν δὲ τοῖς ὄχλοις ἐβόα τρανῶς· „Μὴ χωρίζεσθε ὅλως Χριστοῦ τοῦ θεοῦ“ |:ὡς ἀήττητος.:|

book 20.82 Ἀφορῶν εἰς τὴν ἄϋλον δύναμιν τῇ ὑλώδει φλογὶ ὑπεισέρχεται, τὴν στολὴν ἐν σπουδῇ ἐκδυσάμενος ἀφθαρσίαν φωτὸς ἐνεδύσατο· τὸ πῦρ φρικῶδες ἐπιστάμενος οὐρανόθεν ἐστέφετο ὑπ’ ἀγγέλων, τὸ βραβεῖον δεχόμενος τῶν ἀγαθῶν, ἐκνικήσας τὴν δύναμιν τοῦ δολεροῦ |:ὡς ἀήττητος.:|

book 21.82 Γαυριῶν καὶ σκιρτῶν ὁ Θεόδωρος τῆς πηλίνης σαρκὸς ἀπεδήμησεν· ἐκφυγὼν τοῦ πυρὸς τῆς κολάσεως ἐν ὑψίστοις προθύμως πορεύεται σὺν τοῖς πυρίνοις ὁ ἐπίγειος καθὼς ὤφθη σαφῶς μετὰ ἀγγέλων, νικητὴς ἀπερχόμενος πρὸς τὸν θεὸν τοῦ πρεσβεύειν ἀπαύστως ὑπὲρ τῶν πιστῶν |:ὡς ἀήττητος.:|

book 22.82 Ἰδοὺ δὴ νικηθεὶς ὁ πολέμιος ἀνῃρέθη θυμῷ σπαραττόμενος, καὶ σπουδῇ προβληθεὶς χαλεπώτερος ἐπορεύθη τοῦ θῦσαι τοῖς δαίμοσι· ναὸν δὲ φθάσας ⟦τῆσ⟧ ἐρημώσεως θεωρεῖ τοὺς θεοὺς κατακαυθέντας καὶ στενάξας πικρῶς ἔμαθεν ἀκριβῶς τὸν τὸ δρᾶμα τελέσαντα ἐν τῷ ναῷ |:ὡς ἀήττητον.:|

book 23.82 Ὅτε τῶν ἰοβόλων ἀκήκοεν ὑπερζέσας θυμῷ ἀνεκραύγασεν εἰσαχθῆναι τοὺς φίλους τοῦ μάρτυρος, ὅπως ἴδωσι τὴν εἰδώλων ἐρήμωσιν· τῶν δὲ ἀχθέντων ἐν τῷ βήματι ζοφεροὺς λογισμοὺς ἔφη ὁ πλάνος πρὸς ἀδόκιμον νοῦν δελεάζων αὐτούς, κραταιῶς δὲ ἀντέστησαν τῷ δικαστῇ |:ὡς ἀήττητοι.:|

book 24.82 Νοῦν ἀήττητον ἔχων ὁ Εὔτροπος ὕβρεις πλείστας τῷ πλάνῳ ἠκόντισεν, ὅθεν βρύξας κελεύει ὁ δόλιος στρατιώτῃ μαστίξαι τὸν ὅσιον· ὁ δὲ τῷ λίθῳ τυπτιζόμενος ὑποφέρει προθύμως τὰς ἀλγηδόνας, ἀλλ’ ἐνάρκησεν ἄφνω ἡ χεὶρ τοῦ ἐχθροῦ ξηρανθεῖσα ὡς τύψασα τὸν ἀθλητὴν |:καὶ ἀήττητον.:|

book 25.82

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θρασυνθεὶς τῇ καρδίᾳ ὁ δόλιος τοὺς ἁγίους ἐν στύλῳ ἐδέσμευσε καὶ πολλὴν τιμωρίαν προσήνεγκεν ἀνεικάστῳ κολάσει ἐτάσεως· οἱ δὲ γενναίως ὑποφέροντες τῆς προσκαίρου ζωῆς καταφρονοῦσι. καὶ τῷ ζῶντι θεῷ ἐκβοῶσι πιστῶς· „Ἐπὶ σὲ καταφεύγομεν, μόνε σωτήρ, |:πολυέλεε.“:|

book 26.82 Εὐχῇ τῇ εὐπροσδέκτῳ εὐχόμενοι τῇ καρδίᾳ τὸν κύριον εἴδοσαν ἐν σεισμῷ φοβερῷ ἐποχούμενον μετὰ δόξης ἀγγέλων αἰφνίδιον· δεσμῶν δὲ ἄφνω ἀπελύθησαν ἀλγηδόνων δεινῶν ἀπαλλαγέντες, δυναμοῦνται δὲ ἐξ ἀσθενείας πολλῆς κατιδόντες Θεόδωρον σὺν τῷ Χριστῷ |:ὡς ἀήττητοι.:|

book 27.82 Ὁ θεὸς ἐμφανῶς παρεγένετο κραταιώσας τοὺς τρεῖς γενναιόφρονας· ἐκπλαγεὶς δὲ ὁ τύραννος ἔδοξε φαντασίαν ὁρᾶν τὴν συνέλευσιν· ζητῶν τροπώσασθαι τὸν Εὔτροπον λογισμοὺς δολεροὺς φθέγγεται ὁ πλάνος, προσδοκῶν ἀπατᾶν αὐτὸν καὶ τοὺς λοιπούς, ἀλλ’ οὐκ ἤχθησαν τοῖς λογισμοῖς τοῦ ἐχθροῦ |:ὡς ἀήττητοι.:|

book 28.82 Διὰ λόγου μὴ πείσας τοὺς μάρτυρας ἀναφθῆναι πυρὰν διετάξατο καὶ σταθῆναι τοὺς λέβητας γέμοντας ἐν ἀσφάλτῳ καὶ πίσσῃ, ὡς γέγραπται· καὶ δὴ σταθέντες οἱ μακάριοι κατεχέοντο πᾶσαν τὴν σκευασίαν, ἀλλ’ ἐφάνη αὐτοῖς ὥσπερ ὕδωρ ψυχρόν, ἐκνικήσαντες πᾶσαν ὀργὴν τοῦ ἐχθροῦ |:ὡς ἀήττητοι.:|

book 29.82 Ὡς οὖν καὶ ὑπ’ αὐτῶν ἐκνενίκητο, σταυρωθῆναι τοὺς δύο προσέταξε, σὺν Εὐτρόπῳ δὲ θεῖος Κλεόνικος σταυρωθέντες τὸν δρόμον ἐτέλεσαν· τῷ Βασιλίσκῳ δὲ ὁ βλάσφημος ὑποδείξας πολὺ πλῆθος βασάνων, ἡττηθεὶς τῇ τοῦ ξίφους ἐκδίδει τομῇ· οὕτως ἤθλησαν ὕπερ Χριστοῦ οἱ πιστοὶ |:ὡς ἀήττητοι.:|

book 30.82 Ῥήμασι κολακείας οὐκ ἤχθησαν, οὐ βασάνοις οἱ ἅγιοι μάρτυρες· ἀπειλάς τε ἀνόμων οὐκ ἔπτηξαν, ἀλλ’ οὐδὲ τὰ πικρὰ κολαστήρια· οὐ πῦρ, οὐ ξίφος, οὐδὲ μάχαιραν, ἀλλὰ πάντα παρεῖδον καὶ προθυμίᾳ ἑαυτοὺς πρὸς τὸ πάσχειν παρέδωκαν, ἀναμένοντες τὴν ἐξ αὐτῶν ἀμοιβὴν |:ὡς ἀήττητοι.:|

book 31.82 Οὐκ ἀρκεῖ ἅπας λόγος πρὸς ἔπαινον τῶν ἁγίων Χριστοῦ τοῦ θεοῦ ἡμων, ἐπαρκεῖ δὲ αὐτοῖς εἰς ἐγκώμιον τοῦ Χριστοῦ δούλους ἀναγορεύεσθαι καὶ τὸ παθεῖν ὑπὲρ τοῦ ἑκόντος δι’ ἡμᾶς σταυρωθέντος τε καὶ ταφέντος καὶ ἐκ τάφου φρικτῶς ἀναστάντος θεοῦ· τοῦτο στέφος καὶ κλέος κρατοῦσιν ἀεὶ |:ὡς ἀήττητοι.:|

book 32.82 Νῦν, αὐτὸς ὁ περίφημος ἅγιος καὶ ταχὺς εἰς βοήθειαν πάντοτε, τῇ ἐμῇ ταπεινώσει ἐπίβλεψον, οἶδα γάρ σε σπουδαῖον πρὸ κλήσεως· μὴ οὖν ἀπώσῃ με, πανεύφημε, ἀλλὰ δεῖξον τῆς σῆς ἁγιωσύνης ἐν ἐμοὶ τὴν βοήθειαν σοῦ ἀγαθήν, καὶ γενοῦ τοῖς ὑμνοῦσι σε τεῖχος ἀεὶ |:ὡς ἀήττητος.:|

book 1.83 Αἱ ἀγγελικαὶ προπορεύεσθε δυνάμεις, [para]οἱ ἐν Βηθλεὲμ ἑτοιμάσατε τὴν φάτνην· [para]ὁ λόγος γὰρ γεννᾶται, ἡ σοφία προέρχεται· δέχου ἀσπασμόν, ἡ ἐκκλησία, εἰς τὴν χαρὰν τῆς θεοτόκου· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 2.83 Ἰδὼν Ἰωσὴφ ἐπουράνιους δυνάμεις [para]εἰς προσκύνησιν ⟦τοῦ⟧ σαρκωθέντος προσδραμούσας, [para]ἠπόρει τὸ μυστήριον τοῦ τεχθέντος βασιλέως· μάγους μετὰ δώρων προσκυνοῦντας τὸν ἐκ τῆς παρθένου προελθόντα, διὸ ἔλεγε· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 3.83 Νίκην κατ’ ἐχθρῶν κεκτημένοι τὸν τεχθέντα, [para]καταβάλωμεν ⟦τὴν⟧ δυναστείαν τοῦ Βελίαρ· [para]Χριστοῦ γὰρ γεννηθέντος, ἐδεσμεύθη ὁ τύραννος· ὅθεν προσκυνοῦμεν σοῦ τὸν τόκον τῆς εὐλογημένης θεοτόκου πιστῶς κράζοντες· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 4.83

Ὄρος νοητὸν ἀνεδείχθης, ὦ παρθένε· [para]ἐτμήθη γὰρ ἐκ σοῦ ⟦ὁ⟧ ἀκρογωνιαῖος λίθος, [para]ὃν εἶδεν ὁ προφήτης τὴν εἰκόνα ὀλέσαντα· οὗτος γὰρ συνέτριψε τὸ κράτος τοῦ δεινοῦ φθορέως τῶν ἀνθρώπων, διὸ εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 5.83 Σάλπιγγος φωνὴν ἀναλάβετε, ποιμένες· [para]λόγους μαγικοὺς ἀπορρίψατε, οἱ μάγοι· [para]σκιρτήσατε, τὰ ὄρη, ὁ θεὸς ἐμφανίζεται· δεῦτε, θυγατέρες βασιλέων, εἰς τὴν χαρὰν τῆς θεοτόκου, λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 6.83 Τέτοκε χαρὰν ἡ ἀπείρανδρος Μαρία· [para]πέπαυται λοιπὸν τοῦ προπάτορος ἡ λύπη· [para]ὁ ἄκτιστος γεννᾶται, ὁ ἀχώρητος χωρεῖται· σήμερον ἡ πλάνη κατεπόθη διὰ τοῦ τεχθέντος βασιλέως· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 7.83 Αὐλῶν ποιμενικῶν ἀποβάλλεσθε, ποιμένες, [para]τὸν ἐν Βηθλεὲμ ἀνυμνήσατε δεσπότην· ἐκ κόρης γὰρ προῆλθεν ὁ λυτρούμενος τὸν κόσμον· λέλυται τῆς Εὔας ἡ κατάρα διὰ τοῦ τεχθέντος βασιλέως, διὸ εἴπωμεν· |:„Εὐλογημένος ὁ καρπός, ἁγνή, τῆς κοιλίας σου.“:|

book 8.83 Ποῖος νοῦς βροτῶν ἑρμηνεύσει σου τὸν τόκον; [para]τὶ καλέσωμεν ⟦σέ⟧, ὑπερένδοξε Μαρία; [para]ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ τὴν κτίσιν πλαστουργήσας· „Χαῖρε“ σοι βοήσω τῇ παρθένῳ, „χαῖρε“ σοι προσείπω τῇ ἀμνάδι· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 9.83 Ἐν ἀλαλαγμῷ νῦν κροτήσωμεν τὰς χεῖρας, [para]τὴν ἀγγελικὴν συστησώμεθα χορείαν· [para]ἐτέχθη γὰρ ὁ κύριος ἐκ Μαρίας τῆς παρθένου, ἵνα τὸν Ἀδὰμ ἀνακαινίσῃ καὶ τοὺς πεπτωκότας ἀνορθώσῃ πιστῶς κράζοντας· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 10.83 Ἰδοὺ τέτοκεν τὸν Ἐμμανουὴλ ⟦ἡ⟧ παρθένος [para]καὶ πεπλήρωνται ⟦τῶν⟧ θεοφόρων προφητεῖαι· [para]ἐβλάστησεν ἡ ῥάβδος, καθὼς εἶπεν Ἠσαΐας· ἐγνώσθης ἐν μέσῳ δύο ζῴων, ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου· πιστοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 11.83 Νόμου ποιητὴς ὑπὸ νόμον ἐσαρκώθη· [para]ἄχρονος υἱὸς ἐκ παρθένου ἐγεννήθη· ὁ πλάστης τῶν ἁπάντων ἐν τῇ φάτνῃ ἀνεκλίθη· ἐκ πατρὸς ἀμήτωρ γὰρ ὑπάρχων γέγονεν ἀπάτωρ ἐκ παρθένου· διὸ κράξωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 12.83 Ὄντως ἡ χαρὰ ἐν σπηλαίῳ νῦν ἐτέχθη, [para]σήμερον χοροὶ ἀσώματοι ἀγάλλονται· [para]αἰνοῦσιν ἔθνη πάντα τὴν ἀμόλυντον παρθένον· σήμερον γὰρ τίκτει τὸν σωτῆρα, σήμερον χορεύει ὁ προπάτωρ· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 13.83 Ὕμνον ὁ χορὸς τῶν ἀγγέλων ἀναμέλπει [para]σοι τῇ φωτεινῇ καὶ ἀπειράνδρῳ Μαρίᾳ· [para]γηθόμενος χορεύει ἐν τῷ τόκῳ σου ἀξίως· χαῖρε, ἡ ἐλπὶς τῶν οἰκετῶν σου, χαῖρε προστασία ὀρθοδόξων· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 14.83 Ῥάμνος θεϊκὸς ἀνακέκλιται ἐν φάτνῃ [para]ἄνω σὺν πατρὶ δοξαζόμενος ἐν θρόνῳ· [para]ἑκὼν γὰρ ἐσαρκώθη μὴ κενώσας οὐράνια· δέος καὶ χαρὰ δορυφορεῖται γόνασι μητρὸς καὶ ταῖς ἀγκάλαις· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 15.83 Ὥσπερ ἐκ πατρὸς ἀνεβλάστησας ἀμήτωρ, [para]οὕτως ἐκ μητρὸς ἐνηνθρώπησας ἀπάτωρ, [para]τὸ μὲν γὰρ ἀσωμάτως, τὸ δὲ πάλιν ἐν σώματι· ὅθεν Χερουβὶμ δοξολογοῦσιν· „Δόξα σοι θεῷ τῷ ἐν ὑψίστοις.“ λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 16.83 Μέγα τοῦ πατρὸς πεφανέρωται ἐκ κόρης, [para]θεῖον, εὐσεβὲς καὶ μυστήριον τῷ κόσμῳ· παιδίον γὰρ ἐτέχθη ὁ κατέχων τὰ σύμπαντα, μόρφωσιν ἑκὼν τοῦ πρωτοπλάστου εἴληφεν σαφῶς ἐξ ἀπειράνδρου· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 17.83

Ἄνθος Ἰεσσαὶ ἐξελεύσεται ἐκ ῥάβδου, [para]ὑπὸ τοῦ φαιδροῦ προηγόρευται προφήτου· [para]ὁρῶμεν γὰρ παρθένον ὑπὲρ φύσιν κυήσασαν ῥάμνον ποθεινὸν ἐξ οὐρανόθεν σύνθρονον πατρὸς ἐν τοῖς ὑψίστοις· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 18.83 Νέεσθε λοιπὸν οἱ φυλάσσοντες ποιμένες· [para]ἴδετε θεὸν νηπιάσαντα ἀτρέπτως [para]καὶ παύσασθε αὐλοῦντες καὶ σκιρτῶντες θαυμάσατε, ὅτι ἐν χερσὶν ἡ θεοτόκος φέρει υἱὸν πρὸ ἑωσφόρου· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 19.83 Ὄρος τοῦ θεοῦ προετύπωσεν σε πάλαι, [para]ἄνανδρε σεμνή, ὑπερένδοξε, προφήτης· [para]ὁ λίθος γὰρ ἐτμήθη ἐκ γαστρός σου, σωτήρ ἡμων· νέμεται Ἀδὰμ ἐλευθερίαν, λύει 〈τὰ〉 δεσμὰ τῆς ἁμαρτίας· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 20.83 Ὕμνον αἰνετὸν ἀνυμνήσατε ἀπαύστως [para]τῷ ἐν Βηθλεὲμ ἀνατείλαντι δεσπότῃ, [para]ἀσπόρως γὰρ σαρκοῦται, ἀληθῶς ἐγεγέννηται· μέλψωμεν λαοὶ σὺν τοῖς ἀγγέλοις· „Δόξα τῷ θεῷ ἐν τοῖς ὑψίστοισ“, πιστῶς κράζοντες· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 20bis.83 ⟦Ὑμνῶ σε, βασιλεῦ, τοῖς σπαργάνοις ἑλιχθέντα, [para]λύεις γὰρ σειρὰς τῶν ἐμῶν παραπτωμάτων, [para]καὶ δόξῃ ἀκηράτῳ καὶ ἀφθάρτῳ συνδήσας με ὅλον τῷ πατρὶ προσῳκειώσω [para]δημιουργῶν καὶ ἀναπλάττων· διὸ κράζω σοι· |:„Εὐλογημένος 〈ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι“〉 .:|⟧

book 21.83 Ἔδειξεν ἡμῖν συναγάλλεσθαι, παρθένε, [para]τόκος μυστικὸς σπαργανούμενος ἐν φάτνῃ· [para]οἰκήσας γὰρ ἐν μήτρᾳ παρθενίαν οὐκ ἔλυσεν· φαίνεται ἑκὼν ἐνανθρωπήσας ⟦ὁ⟧ λόγος σαρκωθεὶς ἀνερμηνεύτως· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 22.83 〈Ε〉 Ιδοσαν λαοὶ τὸ σωτήριον τῆς δόξης [para]ἐκ παρθενικῆς ἀνατείλαντα νηδύος· [para]ποιμένες μὲν θαυμάζουσι, οἱ δὲ μάγοι προσάγουσι λίβανον, χρυσὸν καὶ εἶδος σμύρνης, τύπωμα πιστὸν τὸ τῆς τριάδος· λαοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 23.83 Σήμερον Ἀδὰμ ἀνακέκληται ἐκ πλάνης [para]καὶ τῆς ζοφερᾶς τοῦ ἀλάστορος ἀπάτης· [para]Χριστὸς γὰρ ἐκ παρθένου σωματοῦται ὡς ἄνθρωπος, ὃς καὶ τὸν Ἀδὰμ ἀνακαλέσας ἦρεν τὴν ἀρὰν διὰ παρθένου· διὸ εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 24.83 Τύπος κιβωτοῦ προτετύπωται παρθένος [para]τέξασα θεὸν ἱλαστήριον τοῦ κόσμου, [para]ἐν ᾗ μὲν γὰρ καὶ στάμνος ἡ τὸ μάννα κατέχουσα, δι’ ἧς Ἰσραὴλ ἐποδηγεῖτο· διὸ καὶ ἡμεῖς τῇ θεοτόκῳ, πιστοί, εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 25.83 Ἄφραστον, φρικτὸν τὸ μυστήριον τοῦ λόγου πᾶσιν ἐπὶ γῆς καὶ στρατεύμασι πυρίνοις· λαθὼν γὰρ ἀσωμάτων τὰς δυνάμεις σεσάρκωται· [para]φαίνεται θεὸς ἐνανθρωπήσας· πῶς δὲ προῆλθεν λαθὼν πάντας; διὸ εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 26.83 Γῆ καὶ οὐρανός, συναγάλλεσθε ὁρῶντες [para]τὸν Ἐμμανουήλ, ὃν ἐκήρυξαν προφῆται, [para]ὡς ἄνθρωπον ὀφθέντα καὶ ἐν φάτνῃ καθεύδοντα· ὅνπερ οἱ χοροὶ τῶν ἀσωμάτων τρομοῦσιν ἀεὶ ἐνατενίζειν· αὐτῷ εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 27.83 Ἔγνωσαν σαφῶς, ὅτι σήμερον ἐτέχθη [para]ὁ σὺν τῷ πατρὶ συστησάμενος τὰ πάντα, [para]αἱ τάξεις τῶν ἀγγέλων καὶ οἱ μάγοι ἐκραύγαζον· „Σήμερον Χριστὸς ἐκ τῆς παρθένου τίκτεται ἥμιν εἰς σωτῆρα, διὸ κράξατε· |:‚Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι‘.“:|

book 28.83 „Νῦν τὴν Βηθλεὲμ καταλάβωμεν σπουδαίως [para]καὶ τὴν τῆς φωνῆς ἱστορήσωμεν ἐλπίδα,“ [para]ποιμένες ἀγραυλοῦντες πρὸς ἀλλήλους ἀπέφηναν· „Ξένα γὰρ εἰσὶ τὰ λαληθέντα, εἰσὶν δὲ φρικτὰ τὰ ἀκουσθέντα, διὸ κράξωμεν· |:‚Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι‘.“:|

book 29.83 Ἐν τῇ πενιχρᾷ θεασάμενος ὡς βρέφος [para]ἄγραυλος χορὸς ἀνακείμενον ἐν φάτνῃ [para]τὸν μόνον εὐεργέτην τῶν ἁπάντων καὶ κύριον ἔκραζον φαιδρῶς σὺν τοῖς ἀγγέλοις· „Δόξα τῷ θεῷ τῷ ἐν ὑψίστοισ“· διὸ εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 30.83 Θεόθεν σαφῶς παιδευόμενοι οἱ μάγοι [para]ἀπ᾽ ἀνατολῶν παρεγένοντο σπουδαίως ζητοῦντες τὸν τεχθέντα βασιλέα τῆς κτίσεως· εἶδον γὰρ αὐτοῦ τὸν ἑωσφόρον λάμποντα φαιδρῶς καὶ σοφισθέντες λαμπρῶς ἔλεγον· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 31.83 Λίβανον, χρυσὸν κομισάμενοι καὶ σμύρναν, [para]καινῇ τῇ φανῇ τοῦ ἐκλάμποντος ἀστέρος [para]οἱ μάγοι ἐκτρωθέντες τῷ τεχθέντι προσέφερον· ὅθεν καὶ θεὸν προσωμολόγουν τὸν ἐκ τῆς ἁγνῆς ἐμφανισθέντα, διὸ ἔκραζον· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 32.83 „Ἰδού“, ἡ ἁγνὴ ἀνεβόησε παρθένος, [para]„τίκτω νῦν υἱὸν ὑπὲρ ἔννοιαν καὶ λόγον, [para]θεὸν τὸν Ἠσαΐου, καταυγάζοντα σύμπαντα·“ ἄφθορον αὐτὴν διαφυλάττων, λύσας τοῦ Ἀδὰμ τὴν ἁμαρτίαν, διὸ εἴπωμεν· |:„Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι.“:|

book 33.83 Ἄνω στρατιαὶ καὶ οὐράνιοι δυνάμεις [para]ὕμνον ἐκτενῆ καὶ ἀσίγητον βοῶσιν· [para]βροτοὶ δὲ ἐν σπηλαίῳ προσκυνοῦντες κραυγάζουσιν· „Δόξα σοι, Χριστέ, τῷ κατελθόντι σῶσαι χοϊκοὺς ἐκ τῆς κατάρας· διὸ ψάλλωμεν· |:‚Εὐλογημένος ὁ τεχθεὶς θεὸς ἡμῶν, δόξα σοι‘.“:|

book 1.84 Δεῦτε πάντες πιστοὶ προσκυνήσωμεν [para]τὸν σωτῆρα Χριστὸν καὶ φιλάνθρωπον, τὸν υἱὸν τοῦ θεοῦ καὶ μακρόθυμον, τὸν δεσπότην καὶ μόνον ἀθάνατον, ὃν ὑμνοῦσιν ἀγγέλων τὰ τάγματα, [para]ἀσωμάτων οἱ δῆμοι δοξάζουσιν, ἐκ πυρίνων γλωσσῶν ἀνακράζουσι, [para]τρισαγίαις φωναῖς ἀναμέλπουσι, τὸν τρισάγιον ὕμνον ἐξᾴδοντες, ἐπινίκιον αἶνον προσφέροντες· τὸν πατέρα ὑμνοῦσι καὶ κύριον, [para]τὸν υἱὸν σὺν τῷ πνεύματι σύνθρονον· τῇ οὐσίᾳ μονάς ἐστιν ἄτμητος, [para]ἐν τρισὶ τοῖς προσώποις μερίζεται·

book 1.84 ἡ ὑπέρθεος δύναμις σέβεται, [para]ὑπὸ πάσης τῆς κτίσεως ᾄδεται. — θεοτόκε, παρθένε, παντάνασσα, μὴ παρίδῃς ἡμᾶς τοὺς οἰκέτας σου κινδυνεύοντας βίου τῷ κλύδωνι καὶ ἀστάτῳ θηρὶ προσριπτούμενοι· ὑπερτέρα τῶν ἄνω δυνάμεων, ⟦περιστερὰ χρυσωθεῖσα τῷ πνεύματι,⟧ ἀποστόλων τὸ κλέος καὶ καύχημα, προφητῶν καὶ μαρτύρων τὸ σύστημα καὶ τοῦ κόσμου παντὸς ἡ βοήθεια, χρυσοπλοκώτατε πύργε καὶ πάντιμε, δωδεκάπυλε πόλις, παράδεισε, μυροθήκη τοῦ πνεύματος πάντερπνε, τεῖχος ἄμαχον θεῖον καὶ στήριγμα, τῶν πιστῶν ἀνακτόρων προπύργιον καὶ ψυχῶν εὐσεβῶν ἀμυντήριον καὶ σωμάτων ἁγνῶν φυλακτήριον, σὲ γεραίρομεν, ἄχραντε δέσποινα, τὸν υἱόν σου ὑμνοῦμεν καὶ κύριον,

book 1.84 τὸν Χριστὸν καὶ τὸν μόνον φιλάνθρωπον, ὅπως εὕρωμεν χάριν καὶ ἔλεος ἐν ἡμέρᾳ τῆς κρίσεως, δέσποινα. — τότε, κύριε, κύριε, ῥῦσαι με, τοῦ πυρὸς τοῦ ἀσβέστου με λύτρωσαι· μή με λάβῃ Σατὰν ὁ παμπόνηρος, μή με δείξῃς δαιμόνων ἐπίχαρμα· ὅτι μόνος ἐγὼ ἐπλημμέλησα, τὴν ψυχὴν καὶ τὸ σῶμα ἐσπίλωσα καὶ τὸν βίον μου ὅλον ἐρρύπωσα. τί ποιήσω οὐκ οἶδα ὁ ἄθλιος· [para]διὰ τοῦτο κραυγάζω τὸ „ἥμαρτον“· ὡς ὁ ἄσωτος ἦλθον καὶ δέομαι [para]ὡς ἡ πόρνη τὰ δάκρυα κλαίουσα· ἀλλά, κύριε, κύριε, ῥῦσαι με ἐκ βορβόρου τῶν ἔργων καὶ σῶσον με· ὡς ποιμὴν ἀγαθὸς μὴ ἐάσῃς με [para]τῶν παθῶν τοῖς κρημνοῖς πελαζόμενον· κεχωσμένον τοῖς πάθεσιν ἔξελε [para]καὶ τῷ θείῳ φωτί σου με κάθαρον,

book 1.84 ἵνα βλέψω τὴν θείαν εἰκόνα σου [para]καθαρῷ συνειδότι καὶ φθέγξωμαι· „Σοὶ γὰρ πρέπει τιμὴ καὶ προσκύνησις, [para]τῷ πατρὶ καὶ υἱῷ σὺν τῷ πνεύματι ὑπὸ πάσης τῆς κτίσεως πάντοτε εἰς αἰῶνας αἰώνων, φιλάνθρωπε.“

book 1.85 Τὴν τῶν ἀνόμων παρουσίαν ὁρῶν ὁ πρωτομάρτυς ἐν τῷ σταδίῳ ἐπὶ πάντων ἑστώς, ἔλεγε· „Χριστὲ ὁ θεός, μὴ στήσῃς τὸ ἔγκλημα τοῖς ἀδίκοις φονευταῖς, ἀλλ᾽ ἄνες καὶ δίδου τὴν συγχώρησιν αὐτοῖς, ἵνα κηρύττω σε θεὸν σεσαρκωμένον |:τὸν διδοῦντα τὸ βραβεῖον τῆς νίκης.“:|

book 1.85 ⟦Τὸ ὄνομά σου, ἅγιε, τὴν ἄθλησιν ἐμήνυσε, πρωτομάρτυς Χριστοῦ τοῦ θεοῦ, στεφάνῳ γὰρ φερωνύμως ἀξίως ἐστεφανώθης· ἄνω σὲ ἱκετεύω τοῦ δοθῆναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν |:τὸν διδοῦντα βραβεῖον τῆς ἄνω κλήσεως.:|⟧

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.85 Τοῦ πρωτομάρτυρος εἴπω σαφῶς καὶ τῶν ἀνόμων τὴν τόλμαν, πιστοί· [para]προφήτας γὰρ καὶ ἀποστόλους κατεδίωξαν πρὶν ὥσπερ λύκοι ὠμότατοι οἱ τοῦ Χριστοῦ προδόται, οἱ συγκεκαλυμμένοι καὶ ζοφώδεις ὑπάρχοντες· [para]ἐκράτησαν αὐτὸν πρὸς σφαγὴν ὡς ἀρνίον τοῖς λίθοις κτείναντες, καθότι ὡμολόγει [para]τεθεᾶσθαι τὴν δόξαν τὴν ἄφραστον, Χριστοῦ ἀνάστασιν κηρύττοντα τὴν ἐκ νεκρῶν φανερῶς· [para]διὸ καὶ ἀναιροῦσιν ἔξω Ἱεροσολύμων |:τὸν λαβόντα τὸ βραβεῖον τῆς νίκης.:|

book 2.85 Ὁ ἐκ παρθένου θεὸς σαρκωθεὶς καὶ λόγος ἅγιος ὁ ἐκ πατρὸς [para]αὐτός ἐστιν ὁ ἐν προφήταις κηρυχθεὶς ἀληθῶς, οὗ τὸ πνεῦμα ἐδέξαντο οἱ κατ’ ἀξίαν δοῦλοι, μάρτυρες καὶ προφῆται καὶ ἀπόστολοι μάλιστα· [para]τὸ στάδιον μικρὸν καὶ τὸ βραβεῖον μέγα τοῖς ἐκλεκτοῖς Χριστοῦ· ὡς γὰρ σάλπιγξ ὁ λόγος [para]τοῦ κηρύγματος πᾶσιν ἐξήκουσται· αἱ τῶν ἀγγέλων μὲν οὖν στρατιαὶ πάντας ἐκδέχονται [para]τοὺς ἐν πίστει ὑμνοῦντας θεὸν τὸν σεσαρκωμένον |:τὸν διδοῦντα τὸ βραβεῖον τῆς νίκης.:|

book 3.85 Ὕψιστε, ἄχραντε λόγε θεοῦ, σοὶ πρέπει δόξα καὶ τῷ σῷ πατρὶ [para]σὺν τῷ ἁγίῳ πνεύματί σου· δώρησαί μοι, σωτήρ, τοῦ ἀξίως ὑμνῆσαι σε· τίς ἱκανὸς γὰρ φράσαι τὴν θεϊκήν σου δόξαν; φῶς γὰρ οἰκῶν ἀπρόσιτον [para]Στεφάνου στέφανος οὐρανόθεν ἐδείχθης· πλησθεὶς γὰρ ἀληθῶς πνεύματος τοῦ ἁγίου [para]οὐρανόθεν τὴν δόξαν τεθέαται ἐκ δεξιῶν ἑστῶτος 〈σου〉, Χριστέ, τοῦ σοῦ ἀφράστου πατρός, [para]καὶ ἐκτήσατο οὗτος θείαν χάριν τὸν διδοῦντα |:οὐρανόθεν τὸ βραβεῖον τῆς νίκης.:|

book 4.85 Τοῦτον ἐδόξασεν ὁ Ἰησοῦς ὃν τρόπον Παῦλον τὸν πρώην θρασύν, [para]νυνὶ δὲ σκεῦος ἀληθείας· ὁ ποτὲ γὰρ δεσμῶν νῦν δεσμεῖται ἁλύσεσιν καὶ ἀστραπῇ τυφλοῦται, ψυχῇ δὲ ἀναβλέπει ἐπιγνοὺς τὸν αὐγάσαντα· [para]πεσὼν δὲ κατὰ γῆς τὰς παλάμας ἐκτείνει, ζητῶν χειραγωγοὺς ἀναβοᾷ καὶ λέγει· [para]„Τίς εἶ, κύριε; φράσον μοι, δέσποτα.“ εὐθέως οὖν ἦλθε αὐτῷ φωνή· „Σαούλ, Σαούλ, τί μοχθεῖς, [para]τί διώκεις; τῶν ἄνω πόθησον καὶ μὴ διώξῃς |:τὸν διδοῦντα τὸ βραβεῖον τῆς νίκης.“:|

book 5.85 Ὅτε δὲ ἤκουσεν ὁ ἐκλεκτὸς ὁ πρώην λύκος νυνὶ δὲ ποιμήν· [para]„Ἐγώ εἰμι 〈ὁ〉 Ἰησοῦς ὁ σταυρῷ προσηλωθεὶς καὶ τῇ λόγχῃ κεντούμενος· διὰ γὰρ τοὺς ἀνθρώπους ὑπέστην ταῦτα πάντα σῶσαι θέλων τὸν πταίσαντα· [para]ὡς εὔσπλαγχνος θεὸς τῇ σαρκὶ ἐσταυρώθην τελώναις καὶ λῃσταῖς τὴν συγχώρησιν νέμων [para]καὶ ταῖς πόρναις πταισμάτων τὴν ἄφεσιν. μάθε καὶ σὺ Σαοὺλ τὸ συμπαθεῖν καὶ μὴ θρασύνου δεινῶς [para]θηριώδης ὑπάρχων· ἀλλὰ σκεῦος μοι γενοῦ 〈νῦν〉, |:ἵνα λάβῃς τὸ βραβεῖον τῆς νίκης.“:|

book 6.85 Ῥήματα θεῖα ἀκούσας Σαοὺλ χειραγωγούντων τῶν ἄλλων αὐτὸν [para]ἐπὶ τὴν Δαμασκὸν εἰσῆλθεν· Ἀνανίαν ζητῶν 〈--〉 καὶ τὸ λουτρὸν λαμβάνει τῆς παλιγγενεσίας καὶ ἰάσεως ἔτυχεν [para]τῇ τῆς χειρὸς ἀφῇ Ἀνανίου εὐθέως· ἡμέραις γὰρ τρισὶν οὐκ ἐγένετο βλέπων [para]καὶ λαμβάνει τροφὴν ἐπουράνιον. τροφὴν δὲ νῦν ἐρεῖ μοι ἡ γραφὴ τὸ σῶμα τὸ Χριστοῦ [para]καὶ τὸ ἅγιον πόμα, οὗτινος καὶ ὤφθη κῆρυξ, |:τοῦ διδοῦντος τὸ βραβεῖον τῆς νίκης.:|

book 7.85 Ὡς Κορνηλίῳ ὁ Πέτρος ποτὲ δίδωσι χάριν ὡς 〈τῷ〉 ἐκλεκτῷ, [para]νηστείαις τε καὶ εὐποιΐαις καὶ καρπῶν ἀγαθῶν πληρωθεὶς μεταπέμπεται Σίμωνα τὸν καὶ Πέτρον· ὅστις αὐτὸν βαπτίσας καὶ τὸν λόγον ἐδίδαξεν· [para]τῇ πίστει γὰρ πιστοὶ τῷ θεῷ φανεροῦνται οἱ πνεῦμα ἔχοντες ταπεινώσεως ἤδη [para]καὶ τὸν πλοῦτον τὸν ἄσυλον ἔχοντες ἐν οὐρανῷ, ὅπου καὶ ὁ Χριστὸς ἐκ δεξιῶν τοῦ θεοῦ· [para]θησαυρὸς γὰρ ὑπάρχει ἀγαθῶν κατορθωμάτων |:ὁ παρέχων τὸ βραβεῖον τῆς νίκης.:|

book 8.85 Μέγα μυστήριον καὶ φοβερόν· θεὸς ἐλήλυθεν ἐπὶ τῆς γῆς· [para]ἁμαρτωλοῖς συνανεστράφη τοῖς τελώναις διδοὺς σωτηρίας μετάνοιαν, ἵνα μηδεὶς ἀνθρώπων πλάνῃ ἐξολισθήσῃ εἰς ἀπώλειαν ἄδικον. [para]ὁ θάνατος ὀξὺς καὶ ἡ κρίσις τελεία τῷ μὴ ποιήσαντι εὐσπλαγχνίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλέους· [para]ὁ γὰρ λύχνος ὑπάρχει τοῦ σώματος ὁ ὀφθαλμὸς ἡμῶν ὁ νοερός, ὃν ὁ σωτὴρ καὶ θεὸς [para]τῇ αὐτοῦ ἐπιγνώσει ὁδηγεῖ τε καὶ φωτίζει, |:τὸν λαβόντα τὸ βραβεῖον τῆς νίκης.:|

book 9.85 Ὅτε ὁ Στέφανος ἤχθη θανεῖν συρόμενος ἐξ ἀνόμου λαοῦ ἀνέβλεψεν ἀπὸ καρδίας ἐκβοῶν ἐκτενῶς τὰ τοιαῦτα δεόμενος· „Κύριε Ἰησοῦ μου, ἵλεως γενοῦ τούτοις, καὶ μὴ μνησικακήσῃς 〈οὖν〉 , [para]μηδὲ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν, ἀλλὰ δέξαι αὐτὸς ἐν χερσί σου ἁγίαις, [para]φιλοικτίρμων, τὸ πνεῦμα τοῦ δούλου σου· ἀνάπαυσόν με μετὰ τοῦ Ἀβρὰμ καὶ τῶν λοιπῶν προφητῶν.“ [para]ἀκουσθεὶς δὲ τὸ πνεῦμα παρεδῶκε τῷ κυρίῳ |:τῷ διδοῦντι τὸ βραβεῖον τῆς νίκης.:|

book 10.85 Ὕπνον καλὸν ἐκοιμήθη εὐθὺς ὁ πρωτομάρτυς Χριστοῦ τοῦ θεοῦ, [para]ἐγράφη δὲ ἐν τοῖς ὑψίστοις ἐπὶ βίβλου ζωῆς αἰωνίου ὁ δίκαιος· πρεσβεύει δὲ ἀπαύστως ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων ὡς ἄμεμπτος [para]τῷ κτίστῃ τῶν ψυχῶν, ἵνα ἀξιωθῶμεν βίον ἀγγελικὸν καὶ ἐνάρετον ζῆσαι [para]σωτηρίαν ἐξ ὕψους λαμβάνοντες· ἐν τῷ ὀνόματί σου οὖν, Χριστέ, πάντας ἀξίωσον [para]μετὰ τῶν ἐκλεκτῶν σου στῆναι ἐν τοῖς δεξιοῖς σου |:τοῦ διδοῦντος τὸ βραβεῖον τῆς νίκης.:|

book 11.85 Ἅγιος, ἅγιος εἶ, Ἰησοῦ, θεὸς αἰώνιος καὶ ἀληθὴς [para]τὴν σάρκα τὴν ἡμῶν φορέσας καὶ τὰς σὰς ἐντολὰς μηδαμῶς ἀποκρύψας μοι, τοῦ πονηροῦ με ῥῦσαι, τῶν πειρασμῶν τῆς ζάλης τοῦ Σατάν με ἀπάλλαξον· [para]οὐ παύει ὁ δεινὸς πολεμῶν τὴν ψυχήν μου ἡμέρας καὶ νυκτὸς δελεάζων τὸ σῶμα [para]πρὸς ἀπάτην καὶ ἄδικα πράγματα· μὴ ἀπατήσῃ με ὁ δολερὸς ἱστῶν παγίδα αὐτοῦ [para]καὶ ποιήσῃ με γέλως ὡς μὴ σχόντα οὐρανόθεν |:〈τὸν διδοῦντα〉 τὸ βραβεῖον τῆς νίκης.:|

book 1.86 Ὤφθης βάσις ἄσειστος τῇ ἐκκλησίᾳ [para]νέμων πᾶσιν ἄσυλον τὴν κυριότητα βροτοῖς· [para]ἐπισφραγίζων σοῖς δόγμασιν, |:οὐρανοφάντορ Βασίλειε ὅσιε.:|

book 1.86 Τῆς σωφροσύνης ὁ κρατήρ, τὸ στόμα τῆς σοφίας καὶ βάσις τῶν δογμάτων, [para]Βασίλειος ὁ μέγας, πᾶσιν ἀστράπτει νοερῶς· [para]δεῦτε οὖν καὶ στῶμεν ἐν τῷ οἴκῳ τοῦ θεοῦ θερμῶς ἐνατενίζοντες, τοῖς θαύμασι τοῖς τούτου τερπόμενοι, ὥσπερ λαμπηδόνι ἀστραφθέντες, τῷ τοῦ βίου καθαρτικῷ πνεύματι θαλφθέντες, μιμούμενοι αὐτοῦ τὴν πίστιν, τὴν ζέσιν, [para]τὴν ταπείνωσιν, δι' ἧς οἶκος ἐδείχθη [para]φύσεως θεοῦ, πρὸς ὃν βοῶντες μέλψωμεν·

book 1.86 |:„Οὐρανοφάντορ Βασίλειε ὅσιε.“:|

book 2.86 Οὐρανοφάντωρ ὑψηλὸς ἀστράψας ἐν τῷ κόσμῳ ὡς ἄλλος ἑωσφόρος, [para]τὸ σκότος ἀπελαύνων τῆς πολυθέου ἀμοινῆς, [para]ἔπεσι παφλάζων ἀδιστάκτως καὶ ἡμῖν, Βασίλειε ἀοίδιμε, τοῦ γράμματος τὴν ὕλην ὠθούμενος ὥσπερ Ἠσαΐας, καθαιρόμενος τὰ χείλη, ἀναίμακτον θυσίαν προσάγων κυρίῳ τῷ θεῷ ἐν τάξει ἀγγέλων [para]προσμολὼν τῷ ἱερῷ θυσιαστηρίῳ [para]ἔσπεισας ἡμῖν τῆς χάριτος τὰς εἰσόδους, |:οὐρανοφάντορ Βασίλειε ὅσιε.:|

book 3.86 Ὑποταγεὶς τῷ θεϊκῷ ζυγῷ ἐν τῇ ζωῇ σου, ἀνίχνευσας τοὺς ὅρους [para]τῆς θείας φρυκτωρίας, σοφῶς ἐνσπείρων τοῖς πιστοῖς [para]σπόρον τῶν δογμάτων, ἐν φρεσὶν θεὶς δαψιλῶς ὑπερουσίου δόγματος, μελέτῃ θεωρίας νευρούμενος, δόγματα συμφλέξας τῶν βλασφήμων, ἱεράρχα, τῷ πνεύματι νῦν τῷ παναγίῳ· τῶν νέων ἐν τριβῇ νεάζων τοῖς ὅπλοις, [para]τὰς ἀγκάλας σταθερῶς, πρέσβυς, ἐδείχθης, [para]ἄνω πρὸς ζωὴν τὴν ἄϋλον ἐμβατεύων, |:οὐρανοφάντορ Βασίλειε ὅσιε.:|

book 4.86 Τῇ τῆς τριάδος ἀστραπῇ τὰς φρένας κατηυγάσθης καὶ πάσας τὰς αἰσθήσεις [para]φυλάξας ἀμολύντους, νέος προβαίνων τὴν ζωήν, [para]ὅλην τὴν οὐσίαν τῆς γραφῆς ἰδικῶς, πιστῶς ἱστορησάμενος, εἰδὼς μὴ εἶναι ἄλλην ἀνάπλασιν πλὴν τῆς ἀληθείας, φρυκτωρίαν ἔθου πᾶσιν ἰσχύϊ σου τὴν βάσιν ἀτρέμας ἰχνεύμων πεφυκὼς ὁδοῖς τοῖς τοῦ λόγου [para]εἰς κατάστασιν

φρικτὴν τῆς ἀφθαρσίας· [para]ὅθεν ἐμπνευσθεὶς ἐδείχθης φῶς τοῖς ἐν κόσμῳ, |:οὐρανοφάντορ Βασίλειε ὅσιε.:|

book 5.86 Ἀτύφου βίου ἐπιβὰς καὶ πίστεως ἀτρέπτου καὶ λήξεως τῆς θείας [para]τὴν τρίβον ἐμνήσθης τοῦ βασιλέως καὶ θεοῦ [para]ἐν τῷ Ἰορδάνῃ τῶν παθῶν σὺ προσριφθεὶς διὰ λουτροῦ βαπτίσματος· ἐκεῖνος γὰρ τὴν πάλαι κατέκλυσε κόσμου ἁμαρτίαν ἐκ παρθένου ἀνατείλας θελήματι καὶ δι' εὐσπλαγχνίαν· αὐτὸς δὲ τῶν ἠθῶν καλύψας τὸ πάρος [para]ἐξανέτειλας ἡμῖν ἥλιος, πάτερ, [para]πνεύματος φωτὸς δηλοῦντος σοὶ ἀδιστάκτως, |:οὐρανοφάντορ Βασίλειε ὅσιε.:|

book 6.86 Ἐν τῷ κρατῆρι τοῦ θεοῦ τὰ χείλη προσπελάσας τὸ νᾶμα τῆς σοφίας [para]ἐρράντισας, θεόφρον, καὶ τὰς καρδίας τῶν πιστῶν [para]ηὔφρανας καθάπερ μουσουργὸς πνευματικὸς καὶ βάσις καὶ ἑδραίωμα τῆς βασιλείας, μάκαρ· καὶ ηὔξησας τὴν περιουσίαν τῆς ἁγίας ἐκκλησίας ὡς Μωϋσῆς τὸ πρὶν ἐν ἐρήμῳ Ἑβραίους προμηθεῖς δεικνύμενος, πάτερ, [para]τῶν φρεάτων τὴν ζωὴν ἄφθονον δείξας [para]ἔπλησας λαόν, δουλείας ἐλευθερώσας, |:οὐρανοφάντορ Βασίλειε ὅσιε.:|

book 7.86 Ὑπάρχει, πάτερ, ἀληθῶς ἡ γλῶσσα σου ὡραία, ὡς ψάλλει ὁ προφήτης, [para]τὰ κάλλη τῶν δογμάτων καλλιγραφοῦσα νοερῶς· [para]πᾶσαν δὲ τῶν ὄντων φύσιν τρανώσας σοφῶς ἀνθρώπους κατεκόσμησας· καὶ γέγονας μονάζων ὑπογραμμός, κλῖμαξ τε καὶ θύρα πρὸς τὴν ἄνω θείαν τρίβον ἀνάγουσα ἡμᾶς, θεοφόρε· διὸ καὶ ἀμοιβὴν τῶν πόνων ἐδέξω [para]ὡς ποιήσας καὶ τρανῶς πάντας διδάξας· [para]ὅθεν καὶ ἡμεῖς ἐν πίστει σὲ ἀνυμνοῦμεν, |:οὐρανοφάντορ Βασίλειε ὅσιε.:|

book 1.87 Ἀγκάλας πατρικὰς διανοῖξαι μοι σπεῦσον· [para]ἀσώτως τὸν ἐμὸν κατηνάλωσα βίον [para]εἰς πλοῦτον ἀδαπάνητον ἀφορῶν τῶν οἰκτιρμῶν σου, σωτήρ· νῦν πτωχεύουσαν μὴ ὑπερίδης καρδίαν· σοὶ γὰρ κύριε ἐν κατανύξει κραυγάζω· |:„Ἥμαρτον, πάτερ, εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον σοῦ.“:|

book 1.87 Τοῦ σωτῆρος ἡμῶν καθ' ἑκάστην ἡμῖν [para]τῇ οἰκείᾳ φωνῇ βοῶντος ἐν γραφαῖς τοῦ ἀσώτου υἱοῦ τὴν μετάνοιαν, ἀποθώμεθα πᾶσαν ἀσέβειαν καὶ τῷ πατρὶ τῷ εἰδότι τὰ πάντα προσπέσωμεν· οἶδε γάρ, οἶδεν ἐκδέχεσθαι τὴν τῶν πταιόντων μετάνοιαν· [para]ἔνδυμα δὲ ⟦τὸ⟧ τῆς ἀφθαρσίας [para]ἐπιστρέφοντας μόνον ἐνδύει αὐτὸς τοὺς βοῶντας κλαυθμῷ· |:„Ἥμαρτον, πάτερ, εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον σοῦ.“:|

book 1.88 Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος [para]σοί, Χριστέ, προσέρχομαι ὡς ὁ τυφλὸς ἐκ γενετῆς [para]ἐν μετανοίᾳ κραυγάζων σοι· |:„Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.“:|

book 1.88 Ῥεῖθρον μοι δώρησαι, σωτήρ, σοφίας τῆς ἀρρήτου καὶ γνώσεως τῆς ἄνω, [para]τὸ φῶς τῶν ἐν τῷ σκότει καὶ πλανωμένων ὁδηγέ, [para]ἵνα ἐξισχύσω τὰ θαυμάσια τὰ σὰ ὁ τάλας διηγήσασθαι, ἅπερ ἡ θεία βίβλος ἐδίδαξε τοῦ εὐαγγελίου τῆς εἰρήνης, παραθεῖσα τὴν τοῦ τυφλοῦ θαυματοποιΐαν· ὅτι ἐκ γενετῆς πηρὸς ἐνυπάρχων [para]ὀφθαλμοὺς μὲν αἰσθητοὺς ἀπολαμβάνει καὶ τοὺς τῆς ψυχῆς ἐν πίστει ἀνακραυγάζων·

book 1.88 |:„Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.“:|

book 2.88 Ὡς συναΐδιος πατρὶ υἱὸς γεγενημένος, ὁ καὶ συμβασιλεύων [para]τῷ πνεύματι τῷ θείῳ τῷ παντουργῷ καὶ θεϊκῷ, [para]τὴν τῶν Ἰουδαίων σκαιωρίαν καὶ βουλὴν τὴν ἄδικον ἐλέγχοντα ὀφθαλμοὺς ἐν σαββάτῳ ἠνέῳξε τοῦ ἐκ γενετῆς μὲν τυφλοῦ ὄντος, ὕστερόν δε νιψάμενου προστάξει τοῦ πλάστου· πηλῷ γὰρ ὀφθαλμοὺς 〈ἐγ〉 χρίσας τὸ λεῖπον [para]ἀνεπλήρου ὡς θεὸς ὁ τὸν Ἀδὰμ μὲν πάλαι ἐκ χοὸς ποιήσας ἄνθρωπον λόγῳ |:καὶ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.:|

book 3.88 Μανθάνει δῆμος μαθητῶν τὴν θείαν δεσποτείαν Χριστοῦ τοῦ διδασκάλου· [para]φησὶ γάρ, ἐπηρώτων· „Καρδιογνῶστα καὶ θεέ, [para]τί ἥμαρτεν οὗτος ἢ ⟦οἱ⟧ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς

οὕτως γενήσεται;“ ὅθεν τὸν νοῦν τούτων διορθούμενος, ὅτι ὑπὲρ δόξης καὶ σοφίας τῆς ἀρρήτου καθίστατο ἡ πήρωσις τούτου· κελεύει οὖν εὐθὺς αὐτὸν πορευθῆναι, [para]καὶ νιψάμενος τρανῶς ἀπολαμβάνει φῶς τῶν ὀφθαλμῶν χαρᾷ ⟦ἀνα⟧βοῶντα ἀλήκτῳ·

book 3.88 |:„Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.“:|

book 1.89 Διὰ πόθον, ὁσία, τὸν τοῦ κυρίου [para]προσπαθείας τὴν σχέσιν ἀπεβδελύξω [para]τῇ ἀσκήσει σου τὸ πνεῦμα λαμπρύνασα· ἀλλὰ ταῖς σαῖς ἱκεσίαις καὶ τῶν πολεμίων τὰ θράση διασκέδασον· |:στερρῶς γὰρ τὸν θῆρα κατεπάτησας.:|

book 1.89 Ῥεῖθρα μοι λόγου δός, ὁ θεός μου, καὶ πηγὴν ἐγκωμίου ποίησόν μου τὸν νοῦν, εὐλόγησον καὶ τὴν γλῶτταν μου, ἵνα ὑμνήσω τὴν σὴν ἀμνάδα, ἥνπερ ἔστεψας σὺ τῇ χάριτί σου· ἂν γὰρ αὐτὸς οὐ παράσχῃς μοι λόγον ἐπάξιον, πῶς οἴσω δῶρα ὁ πένης τῇ πλουσίᾳ ἐν λόγοις καὶ πράξεσι; διὸ παράσχου μοι δύναμιν διηγήσασθαι ταύτης τὰ ἔπαθλα· |:στερρῶς γὰρ τὸν θῆρα κατεπάτησεν.:|

book 2.89 Ὡς ἐξ ἀκάνθων ῥόδον ἐνθέως ἡ ὁσία ἐξέφυ, καὶ μυρίζει παντῇ τῶν ἀρετῶν τὴν εὐπρέπειαν· αὕτη γονέων οὖσα ἐνδόξων εὐγενῶς ἀνετράφη καὶ ἐπισήμως· ἣν οἱ γονεῖς ἁδρυνθεῖσαν πρὸς γάμον ἐξέδοντο μὴ γνόντες ταύτης τὸν τρόπον, ὡς ἐστὶν εὐσεβὴς καὶ φιλόθεος· ἡ δὲ ὑπεῖκε μὴ θέλουσα γεννητόρων ἀρνήσασθαι πρόσταγμα· |:στερρῶς γὰρ τὸν θῆρα κατεπάτησεν.:|

book 3.89 Μετὰ τῇ τοῦ ἀνδρὸς συναφείᾳ ἠγωνίζετο ἄγαν ἡ ὁσία λαθεῖν φθορᾶς ἐν δόλῳ τὸν σύζυγον· τοῦτο δὲ ἴσχυσεν οὐδὲ ὅλως· ἀλλ’ ἐκύησε παῖδα οὖσαν θηλείαν· καὶ τὸν μαζὸν ἐπιδοῦσα τοιαῦτα ἀντέλεγεν· „Ἐγὼ μὲν γάλακτι τρέφω ἀκουσίως, παιδίον, οἰκτείρων σε, Χριστὸς δ’ εἰς τέλος αὐξήσει σε καὶ ποιήσει σε πράττειν ⟦αὐτοῦ τὰ⟧ εὐάρεστα, |:ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.“:|

Eulogikon public reading copy · View original HTML at eulogikon.org